τραυματιζόμενοι τῶν ἵππων· τούτων γὰρ οἱ μὲν ἀντίοι
wounded of-the horses of-these for some indeed head-on
συμπίπτοντες τοῖς ὑποζυγίοις, ὁπότε διαπτοηθεῖεν ἐκ
falling on-the pack-animals whenever they-were-terrified from
τῆς πληγῆς, οἱ δὲ κατὰ τὴν εἰς τοὔμπροσθεν ὁρμὴν
the blow others and in the to forward rush
ἐξωθοῦντες πᾶν τὸ παραπῖπτον ἐν ταῖς δυσχωρίαις,
pushing-out all the falling-in in the difficult-ground
μεγάλην ἀπειργάζοντο ταραχήν.
great produced disorder

51.6 εἰς ἃ βλέπων Ἀννίβας καὶ συλλογιζόμενος ὡς οὐδὲ τοῖς
at which looking Hannibal and reckoning that not-even for-those
διαφυγοῦσι τὸν κίνδυνον ἔστι σωτηρία τοῦ σκευοφόρου
having-escaped the danger is safety the baggage-train
διαφθαρέντος, ἀναλαβὼν τοὺς προκατασχόντας τὴν νύκτα
having-been-destroyed having-taken-up those having-seized-beforehand the night
τὰς ὑπερβολὰς ὥρμησε παραβοηθήσων τοῖς τῇ πορείᾳ
the passes he-rushed to-be-going-to-help those in-the march
προλαβοῦσιν.
having-gone-ahead

51.7 οὗ γενομένου πολλοὶ μὲν τῶν πολεμίων ἀπώλλυντο
which having-happened many indeed of-the enemies perished
διὰ τὸ ποιεῖσθαι τὴν ἔφοδον ἐξ ὑπερδεξίων τὸν
because-of the to-make the attack from higher-ground —
Ἀννίβαν, οὐκ ἐλάττους δὲ καὶ τῶν ἰδίων·
Hannibal not fewer but also of-the own

51.8 ὁ γὰρ κατὰ τὴν πορείαν θόρυβος ἐξ ἀμφοῖν ηὔξετο
the for in the march uproar from both-sides increased
διὰ τὴν τῶν προειρημένων κραυγὴν καὶ συμπλοκήν.
because-of the of-the aforementioned shouting and fighting

51.9 ἐπεὶ δὲ τοὺς μὲν πλείστους τῶν Ἀλλοβρίγων ἀπέκτεινε, τοὺς
when and the indeed most of-the Allobroges he-killed the
δὲ λοιποὺς τρεψάμενος ἠνάγκασε φυγεῖν εἰς τὴν οἰκείαν, τότε
and rest having-routed compelled to-flee to the home then
δὴ τὸ μὲν ἔτι περιλειπόμενον πλῆθος τῶν ὑποζυγίων καὶ
indeed the indeed still remaining number of-the pack-animals and
τῶν ἵππων μόλις καὶ ταλαιπώρως διήνυε τὰς δυσχωρίας,
of-the horses hardly and painfully got-through the difficult-ground

αὐτὸς δὲ συναθροίσας ὅσους ἠδύνατο πλείστους ἐκ τοῦ 51.10
he-himself and having-gathered as-many-as he-could most from the
κινδύνου προσέβαλε πρὸς τὴν πόλιν, ἐξ ἧς ἐποιήσαντο
danger attacked to the town from which had-made
τὴν ὁρμὴν οἱ πολέμιοι.
the start the enemies
καταλαβὼν δὲ σχεδὸν ἔρημον διὰ τὸ πάντας 51.11
having-found and almost empty because-of the all
ἐκκληθῆναι πρὸς τὰς ὠφελείας ἐγκρατὴς ἐγένετο τῆς
to-have-been-called-out for the plunder master became of-the
πόλεως. ἐκ δὲ τούτου πολλὰ συνέβη τῶν χρησίμων
town from and this many happened of-the useful-things
αὐτῷ πρός τε τὸ παρὸν καὶ πρὸς τὸ μέλλον.
to-him for both the present and for the future
παραυτίκα μὲν γὰρ ἐκομίσατο πλῆθος ἵππων καὶ 51.12
at-once indeed for he-recovered a-number of-horses and
ὑποζυγίων καὶ τῶν ἅμα τούτοις ἑαλωκότων ἀνδρῶν,
pack-animals and of-the along-with these captured men
εἰς δὲ τὸ μέλλον ἔσχε μὲν καὶ σίτου καὶ θρεμμάτων
for and the future he-had indeed both of-corn and of-cattle
ἐπὶ δυεῖν καὶ τρισὶν ἡμέραις εὐπορίαν,
for two and three days abundance
τὸ δὲ συνέχον, φόβον ἐνειργάσατο τοῖς ἐξῆς πρὸς τὸ μὴ 51.13
the and chief fear he-instilled in-those next for the not
τολμᾶν αὐτῷ ῥᾳδίως ἐγχειρεῖν μηδένα τῶν παρακειμένων
to-dare him easily to-attack anyone of-those lying-near
ταῖς ἀναβολαῖς.
the ascents
τότε μὲν οὖν αὐτοῦ ποιησάμενος τὴν παρεμβολὴν καὶ 52.1
then indeed therefore there having-made the camp and
μίαν ἐπιμείνας ἡμέραν αὖθις ὥρμα.
one having-remained day again he-set-out

52.2 ταῖς δ' ἑξῆς μέχρι μέν τινος ἀσφαλῶς διῆγε τὴν
on-the and following up-to indeed a-point safely he-led the
στρατιάν· ἤδη δὲ τεταρταῖος ὢν αὖθις εἰς κινδύνους
army already and on-the-fourth-day being again into dangers
παρεγένετο μεγάλους.
he-came great

52.3 οἱ γὰρ περὶ τὴν δίοδον οἰκοῦντες συμφρονήσαντες ἐπὶ
those for about the pass dwelling having-conspired for
δόλῳ συνήντων αὐτῷ, θαλλοὺς ἔχοντες καὶ στεφάνους·
treachery met him branches having and garlands
τοῦτο γὰρ σχεδὸν πᾶσι τοῖς βαρβάροις ἐστὶ σύνθημα
this for almost for-all the barbarians is token
φιλίας, καθάπερ τὸ κηρύκειον τοῖς Ἕλλησιν.
of-friendship as the herald's-staff for-the Greeks

52.4 εὐλαβῶς δὲ διακείμενος πρὸς τὴν τοιαύτην πίστιν Ἀννίβας
cautiously and disposed toward the such pledge Hannibal
ἐξήτασε φιλοτίμως τὴν ἐπίνοιαν αὐτῶν καὶ τὴν ὅλην
examined carefully the intent their and the whole
ἐπιβολήν.
design

52.5 τῶν δὲ φασκόντων καλῶς εἰδέναι καὶ τὴν τῆς πόλεως
them and saying well to-know both the of-the town
ἅλωσιν καὶ τὴν τῶν ἐγχειρησάντων αὐτὸν ἀδικεῖν
capture and the of-those having-attempted him to-wrong
ἀπώλειαν, καὶ διασαφούντων ὅτι πάρεισι διὰ ταῦτα,
destruction and making-clear that they-are-present because-of these-things
βουλόμενοι μήτε ποιῆσαι μήτε παθεῖν μηδὲν δυσχερές,
wishing neither to-do nor to-suffer anything harsh
ὑπισχνουμένων δὲ καὶ δώσειν ἐξ αὑτῶν ὅμηρα,
promising and also to-be-going-to-give from themselves hostages

πολὺν μὲν χρόνον ηὐλαβεῖτο καὶ διηπίστει τοῖς λεγομένοις, 52.6
long indeed time he-was-cautious and distrusted the things-said
συλλογιζόμενος δ' Ἀννίβας ὡς δεξάμενος μὲν τὰ
reckoning but Hannibal that having-accepted indeed the
προτεινόμενα, τάχ' ἂν ἴσως εὐλαβεστέρους καὶ πραοτέρους
things-offered perhaps — perhaps more-cautious and milder
ποιήσαι τοὺς παραγεγονότας, μὴ προσδεξάμενος δὲ
he-might-make those having-come not having-accepted but
προδήλους ἕξει πολεμίους αὐτούς, συγκατένευσε τοῖς
open he-will-have enemies them he-assented to-the
λεγομένοις καὶ συνυπεκρίθη τίθεσθαι φιλίαν πρὸς αὐτούς.
things-said and pretended to-make friendship with them
τῶν δὲ βαρβάρων τὰ ὅμηρα παραδόντων καὶ θρέμμασι 52.7
the and barbarians the hostages having-handed-over and with-cattle
χορηγούντων ἀφθόνως καὶ καθόλου διδόντων σφᾶς αὐτοὺς
supplying abundantly and generally giving them selves
εἰς τὰς χεῖρας ἀπαρατηρήτως, ἐπὶ ποσὸν ἐπίστευσαν οἱ
into the hands unguardedly to a-degree trusted those
περὶ τὸν Ἀννίβαν, ὥστε καὶ καθηγεμόσιν αὐτοῖς χρῆσθαι
about — Hannibal so-that also as-guides them to-use
πρὸς τὰς ἑξῆς δυσχωρίας.
for the next difficult-ground
προπορευομένων δ' αὐτῶν ἐπὶ δύ' ἡμέραις, συναθροισθέντες 52.8
going-ahead and them for two days having-gathered
οἱ προειρημένοι καὶ συνακολουθήσαντες ἐπιτίθενται, φάραγγά
the aforementioned and having-followed attack a-ravine
τινα δύσβατον καὶ κρημνώδη περαιουμένων αὐτῶν.
a hard-to-pass and precipitous crossing them
ἐν ᾧ καιρῷ πάντας ἄρδην ἀπολέσθαι συνέβη τοὺς περὶ τὸν 53.1
at which moment all utterly to-perish it-happened those about —
Ἀννίβαν, εἰ μὴ δεδιότες ἀκμὴν ἐπὶ ποσὸν καὶ προορώμενοι
Hannibal if not fearing still to a-degree and foreseeing

τὸ μέλλον τὰ μὲν σκευοφόρα καὶ τοὺς ἱππεῖς εἶχον ἐν
the future the indeed baggage and the cavalry they-had in
τῇ πρωτοπορείᾳ, τοὺς δ' ὁπλίτας ἐπὶ τῆς οὐραγίας.
the van the and heavy-infantry at the rear
53.2 τούτων δ' ἐφεδρευόντων ἔλαττον συνέβη γενέσθαι τὸ
these and acting-as-reserve less it-happened to-become the
πάθος· οὗτοι γὰρ ἔστεξαν τὴν ἐπιφορὰν τῶν βαρβάρων.
disaster these for withstood the onset of-the barbarians
53.3 οὐ μὴν ἀλλὰ καὶ τούτου συγκυρήσαντος πολύ τι πλῆθος
not however but also this having-happened great a number
καὶ τῶν ἀνδρῶν καὶ τῶν ὑποζυγίων καὶ τῶν ἵππων
both of-the men and of-the pack-animals and of-the horses
διεφθάρη.
perished
53.4 τῶν γὰρ τόπων ὑπερδεξίων ὄντων τοῖς πολεμίοις,
the for places above being for-the enemies
ἀντιπαράγοντες οἱ βάρβαροι ταῖς παρωρείαις καὶ τοῖς
moving-alongside the barbarians on-the slopes and on-some
μὲν τὰς πέτρας ἐπικυλίοντες τοὺς δ' ἐκ χειρὸς τοῖς λίθοις
indeed the rocks rolling-down others and by hand with-the stones
τύπτοντες εἰς ὁλοσχερῆ διατροπὴν καὶ κίνδυνον ἦγον,
striking into utter confusion and danger they-brought-them
53.5 οὕτως ὥστ' ἀναγκασθῆναι τὸν Ἀννίβαν μετὰ τῆς ἡμισείας
so that to-be-compelled — Hannibal with the half
δυνάμεως νυκτερεῦσαι περί τι λευκόπετρον ὀχυρὸν χωρὶς
force to-pass-the-night about a white-rock strong apart-from
τῶν ἵππων καὶ τῶν ὑποζυγίων, ἐφεδρεύοντα τούτοις, ἕως
the horses and the pack-animals covering these until
ἐν ὅλῃ τῇ νυκτὶ ταῦτα μόλις ἐξεμηρύσατο τῆς χαράδρας.
in whole the night these hardly got-out-of the gully

τῇ δ᾽ ἐπαύριον τῶν πολεμίων χωρισθέντων, συνάψας 53.6
on-the and next-day the enemies having-separated having-joined
τοῖς ἱππεῦσι καὶ τοῖς ὑποζυγίοις προῆγε πρὸς τὰς
the cavalry and the pack-animals he-advanced to the
ὑπερβολὰς τὰς ἀνωτάτω τῶν Ἄλπεων, ὁλοσχερεῖ μὲν
passes the highest of-the Alps full-scale indeed
οὐδενὶ περιπίπτων ἔτι συστήματι τῶν βαρβάρων, κατὰ
no falling-in-with any-longer gathering of-the barbarians by
μέρη δὲ καὶ κατὰ τόπους παρενοχλούμενος ὑπ᾽ αὐτῶν·
parts but and by places being-harassed by them
ὧν οἱ μὲν ἀπὸ τῆς οὐραγίας, οἱ δ᾽ ἀπὸ 53.7
of-whom some indeed from the rear others and from
τῆς πρωτοπορείας ἀπέσπων τῶν σκευοφόρων ἔνια,
the van snatched-away of-the baggage some
προσπίπτοντες εὐκαίρως. μεγίστην δ᾽ αὐτῷ παρείχετο
falling-on opportunely greatest and to-him provided
χρείαν τὰ θηρία·
use the beasts
καθ᾽ ὃν γὰρ ἂν τόπον ὑπάρχοι τῆς πορείας ταῦτα, 53.8
in whichever for — place they-were of-the march these
πρὸς τοῦτο τὸ μέρος οὐκ ἐτόλμων οἱ πολέμιοι προσιέναι,
to this the part not dared the enemies to-approach
τὸ παράδοξον ἐκπληττόμενοι τῆς τῶν ζῴων φαντασίας.
the strangeness being-terrified of-the of-the animals appearance
ἐναταῖος δὲ διανύσας εἰς τὰς ὑπερβολὰς αὐτοῦ 53.9
on-the-ninth-day and having-completed-the-way to the passes there
κατεστρατοπέδευσε καὶ δύ᾽ ἡμέρας προσέμεινε, βουλόμενος
he-encamped and two days waited wishing
ἅμα μὲν ἀναπαῦσαι τοὺς διασῳζομένους, ἅμα
at-the-same-time indeed to-rest those being-saved at-the-same-time
δὲ προσδέξασθαι τοὺς ἀπολειπομένους.
and to-receive those left-behind

53.10 ἐν ᾧ καιρῷ συνέβη πολλοὺς μὲν ἵππους τῶν
at which moment it-happened many indeed horses of-those
ἀπεπτοημένων, πολλὰ δ' ὑποζύγια τῶν ἀπερριφότων τὰ
having-been-frightened many and pack-animals of-those having-thrown-off the
φορτία παραδόξως ἀναδραμεῖν τοῖς στίβοις ἑπόμενα καὶ
loads unexpectedly to-run-back to-the tracks following and
συνάψαι πρὸς τὴν παρεμβολήν.
to-reach to the camp

54.1 τῆς δὲ χιόνος ἤδη περὶ τοὺς ἄκρους ἀθροιζομένης διὰ
the and snow already about the summits gathering because-of
τὸ συνάπτειν τὴν τῆς Πλειάδος δύσιν, θεωρῶν τὰ πλήθη
the to-approach the of-the Pleiad setting seeing the masses
δυσθύμως διακείμενα καὶ διὰ τὴν προγεγενημένην
despondently disposed both because-of the previous
ταλαιπωρίαν καὶ διὰ τὴν ἔτι προσδοκωμένην,
hardship and because-of the still expected

54.2 ἐπειρᾶτο συναθροίσας παρακαλεῖν, μίαν ἔχων ἀφορμὴν εἰς
he-tried having-gathered-them to-exhort one having resource for
τοῦτο τὴν τῆς Ἰταλίας ἐνάργειαν· οὕτως γὰρ ὑποπεπτώκει
this the — of-Italy vividness so for it-lay-below
τοῖς προειρημένοις ὄρεσιν ὥστε συνθεωρουμένων ἀμφοῖν
the aforementioned mountains that being-viewed-together both
ἀκροπόλεως φαίνεσθαι διάθεσιν ἔχειν τὰς Ἄλπεις τῆς
of-a-citadel to-appear position to-have the Alps of-the
ὅλης Ἰταλίας.
whole Italy

54.3 διόπερ ἐνδεικνύμενος αὐτοῖς τὰ περὶ τὸν Πάδον πεδία καὶ
therefore pointing-out to-them the about the Padus plains and
καθόλου τῆς εὐνοίας ὑπομιμνήσκων τῆς τῶν κατοικούντων
generally of-the goodwill reminding of-the of-those inhabiting
αὐτὰ Γαλατῶν, ἅμα δὲ καὶ τὸν τῆς Ῥώμης αὐτῆς
them Gauls at-the-same-time and also the — of-Rome itself

τόπον ὑποδεικνύων ἐπὶ ποσὸν εὐθαρσεῖς ἐποίησε τοὺς
place indicating to a-degree confident he-made the
ἀνθρώπους.
men
τῇ δ' ἐπαύριον ἀναζεύξας ἐνήρχετο τῆς καταβάσεως. 54.4
on-the and next-day having-broken-camp he-began the descent
ἐν ᾗ πολεμίοις μὲν οὐκέτι περιέτυχε πλὴν τῶν λάθρᾳ
in which enemies indeed no-longer he-met except those secretly
κακοποιούντων, ὑπὸ δὲ τῶν τόπων καὶ τῆς χιόνος οὐ πολλῷ
doing-mischief by but the places and the snow not by-much
λείποντας ἀπέβαλε τῶν κατὰ τὴν ἀνάβασιν φθαρέντων.
falling-short he-lost of-those on the ascent having-perished
οὔσης γὰρ στενῆς καὶ κατωφεροῦς τῆς καταβάσεως, τῆς 54.5
being for narrow and steep the descent the
δὲ χιόνος ἄδηλον ποιούσης ἑκάστοις τὴν ἐπίβασιν, πᾶν
and snow unclear making for-each the footing everything
τὸ παραπεσὸν τῆς ὁδοῦ καὶ σφαλὲν ἐφέρετο κατὰ
the having-stepped-aside from-the road and having-slipped was-carried down
τῶν κρημνῶν.
the precipices
οὐ μὴν ἀλλὰ ταύτην μὲν ὑπέφερον τὴν ταλαιπωρίαν, 54.6
not however but this indeed they-bore the hardship
ἅτε συνήθεις ὄντες ἤδη τοῖς τοιούτοις κακοῖς·
inasmuch-as accustomed being already to-the such evils
ἅμα δὲ τῷ παραγενέσθαι πρὸς τοιοῦτον τόπον, ὃν οὔτε 54.7
as-soon-as and the to-arrive at such a-place which neither
τοῖς θηρίοις οὔτε τοῖς ὑποζυγίοις δυνατὸν ἦν παρελθεῖν
for-the beasts nor for-the pack-animals possible was to-pass
διὰ τὴν στενότητα, σχεδὸν ἐπὶ τρί' ἡμιστάδια τῆς
because-of the narrowness almost for three half-stades of-the
ἀπορρῶγος καὶ πρὸ τοῦ μὲν οὔσης, τότε δὲ καὶ μᾶλλον
landslip both before the indeed being then and also more

ἔτι προσφάτως ἀπερρωγυίας, ἐνταῦθα πάλιν ἀθυμῆσαι καὶ
still recently having-broken-away there again to-lose-heart and
διατραπῆναι συνέβη τὸ πλῆθος.
to-be-confounded it-happened the multitude

54.8 τὸ μὲν οὖν πρῶτον ἐπεβάλετο περιελθεῖν τὰς δυσχωρίας
the indeed therefore first he-attempted to-go-round the difficult-ground
ὁ τῶν Καρχηδονίων στρατηγός· ἐπιγενομένης δὲ χιόνος
the of-the Carthaginians general having-come-on but snow
καὶ ταύτην ἀδύνατον ποιούσης τὴν πορείαν, ἀπέστη τῆς
and this impossible making the march he-desisted from-the
ἐπιβολῆς.
attempt

55.1 τὸ γὰρ συμβαῖνον ἴδιον ἦν καὶ παρηλλαγμένον. ἐπὶ γὰρ
the for happening peculiar was and unusual on for
τὴν προϋπάρχουσαν χιόνα καὶ διαμεμενηκυῖαν ἐκ τοῦ
the pre-existing snow and having-remained from the
πρότερον χειμῶνος ἄρτι τῆς ἐπ᾽ ἔτους πεπτωκυίας, ταύτην
previous winter freshly the in the-year having-fallen this
μὲν εὐδιάκοπτον εἶναι συνέβαινε καὶ διὰ τὸ πρόσφατον
indeed easily-cut to-be it-happened and because-of the fresh
οὖσαν ἁπαλὴν ὑπάρχειν καὶ διὰ τὸ μηδέπω βάθος ἔχειν.
being soft to-be and because-of the not-yet depth to-have

55.2 ὁπότε δὲ ταύτην διαπατήσαντες ἐπὶ τὴν ὑποκάτω καὶ
whenever and this having-trodden-through on the beneath and
συνεστηκυῖαν ἐπιβαῖεν, οὐκέτι διέκοπτον, ἀλλ᾽ ἐπέπλεον
compacted they-stepped no-longer they-cut-through but they-slid
ὀλισθάνοντες ἀμφοτέροις ἅμα τοῖς ποσί, καθάπερ ἐπὶ
slipping with-both at-the-same-time the feet as on
τῇ γῇ συμβαίνει τοῖς διὰ τῶν ἀκροπήλων πορευομένοις.
the earth happens to-those through the mud walking

55.3 τὸ δὲ συνεξακολουθοῦν τούτοις ἔτι δυσχερέστερον ὑπῆρχεν.
the and following these still more-difficult was

οἱ μὲν γὰρ ἄνδρες οὐ δυνάμενοι τὴν κάτω χιόνα 55.4
the indeed for men not being-able the lower snow
διακόπτειν, ὁπότε πεσόντες βουληθεῖεν ἢ τοῖς γόνασιν
to-cut-through whenever having-fallen they-wished either with-the knees
ἢ ταῖς χερσὶ προσεξερείσασθαι πρὸς τὴν ἐξανάστασιν,
or with-the hands to-support-themselves for the rising
τότε καὶ μᾶλλον ἐπέπλεον ἅμα πᾶσι τοῖς ἐρείσμασιν,
then also more they-slid along-with all the supports
ἐπὶ πολὺ καταφερῶν ὄντων τῶν χωρίων·
on much steep being the places
τὰ δ' ὑποζύγια διέκοπτεν, ὅτε πέσοι, τὴν κάτω χιόνα 55.5
the and pack-animals cut-through whenever it-fell the lower snow
κατὰ τὴν διανάστασιν, διακόψαντα δ' ἔμενε μετὰ τῶν
in the struggle-to-rise having-cut-through and it-remained with the
φορτίων οἷον καταπεπηγότα διά τε τὸ βάρος καὶ
loads as-if frozen-in because-of both the weight and
διὰ τὸ πῆγμα τῆς προϋπαρχούσης χιόνος.
because-of the hardness of-the pre-existing snow
ὅθεν ἀποστὰς τῆς τοιαύτης ἐλπίδος ἐστρατοπέδευσε περὶ 55.6
whence having-desisted from-the such hope he-encamped about
τὴν ῥάχιν, διαμησάμενος τὴν ἐπ' αὐτῇ χιόνα, καὶ μετὰ
the ridge having-cleared the on it snow and after
ταῦτα παραστήσας τὰ πλήθη τὸν κρημνὸν ἐξῳκοδόμει
these-things having-set-to-work the masses the precipice he-built-up
μετὰ πολλῆς ταλαιπωρίας.
with much hardship
τοῖς μὲν οὖν ὑποζυγίοις καὶ τοῖς ἵπποις ἱκανὴν 55.7
for-the indeed therefore pack-animals and the horses sufficient
ἐποίησε πάροδον ἐν ἡμέρᾳ μιᾷ. διὸ καὶ ταῦτα μὲν
he-made passage in day one therefore also these indeed

εὐθέως διαγαγὼν καὶ καταστρατοπεδεύσας περὶ τοὺς
at-once having-brought-across and having-encamped about the
ἐκφεύγοντας ἤδη τὴν χιόνα τόπους διαφῆκε πρὸς τὰς νομάς,
escaping already the snow places he-dismissed to the pastures
55.8 τοὺς δὲ Νομάδας ἀνὰ μέρος προῆγε πρὸς τὴν οἰκοδομίαν
the and Numidians by turns he-led-forward to the building
καὶ μόλις ἐν ἡμέραις τρισὶ κακοπαθήσας διήγαγε τὰ
and hardly in days three having-suffered-hardship he-brought-across the
θηρία. καὶ τάδε συνέβαινε κακῶς ὑπὸ τοῦ λιμοῦ διατεθεῖσθαι·
beasts and these happened badly by the hunger to-have-been-affected
55.9 τῶν γὰρ Ἄλπεων τὰ μὲν ἄκρα καὶ τὰ πρὸς τὰς
of-the for Alps the indeed heights and the toward the
ὑπερβολὰς ἀνήκοντα τελέως ἄδενδρα καὶ ψιλὰ πάντ' ἔστι
passes reaching wholly treeless and bare all are
διὰ τὸ συνεχῶς ἐπιμένειν τὴν χιόνα καὶ θέρους καὶ
because-of the continuously to-remain the snow both in-summer and
χειμῶνος, τὰ δ' ὑπὸ μέσην τὴν παρώρειαν ἐξ ἀμφοῖν τοῖν
in-winter the but under middle the slope from both the
μεροῖν ὑλοφόρα καὶ δενδροφόρα καὶ τὸ ὅλον οἰκήσιμ' ἔστιν.
sides wood-bearing and tree-bearing and the whole habitable is
56.1 Ἀννίβας δὲ συναθροίσας ὁμοῦ πᾶσαν τὴν δύναμιν
Hannibal and having-gathered together all the force
κατέβαινε καὶ τριταῖος ἀπὸ τῶν προειρημένων κρημνῶν
descended and on-the-third-day from the aforementioned precipices
διανύσας ἥψατο τῶν ἐπιπέδων,
having-completed-the-way reached the plains
56.2 πολλοὺς μὲν ἀπολωλεκὼς τῶν στρατιωτῶν ὑπό τε τῶν
many indeed having-lost of-the soldiers by both the
πολεμίων καὶ τῶν ποταμῶν ἐν τῇ καθόλου πορείᾳ, πολλοὺς
enemies and the rivers in the whole march many

δ᾽ ὑπὸ τῶν κρημνῶν καὶ τῶν δυσχωριῶν κατὰ τὰς Ἄλπεις,
and by the precipices and the difficult-places in the Alps
οὐ μόνον ἄνδρας, ἔτι δὲ πλείους ἵππους καὶ ὑποζύγια.
not only men further and more horses and pack-animals
τέλος δὲ τὴν μὲν πᾶσαν πορείαν ἐκ Καινῆς πόλεως ἐν 56.3
at-last and the indeed whole march from New city in
πέντε μησὶ ποιησάμενος τὴν δὲ τῶν Ἄλπεων ὑπερβολὴν
five months having-made the and of-the Alps crossing
ἡμέραις δεκαπέντε κατῆρε τολμηρῶς εἰς τὰ περὶ τὸν
in-days fifteen he-came-down boldly into the about the
Πάδον πεδία καὶ τὸ τῶν Ἰνσόμβρων ἔθνος,
Padus plains and the of-the Insubres nation
ἔχων τὸ διασῳζόμενον μέρος τῆς μὲν τῶν Λιβύων 56.4
having the saved part of-the indeed of-the Libyans
δυνάμεως πεζοὺς μυρίους καὶ δισχιλίους, τῆς δὲ τῶν
force infantry ten-thousand and two-thousand of-the and of-the
Ἰβήρων εἰς ὀκτακισχιλίους, ἱππεῖς δὲ τοὺς πάντας οὐ
Iberians about eight-thousand cavalry and the all not
πλείους ἑξακισχιλίων, ὡς αὐτὸς ἐν τῇ στήλῃ τῇ περὶ
more than-six-thousand as he-himself in the tablet the about
τοῦ πλήθους ἐχούσῃ τὴν ἐπιγραφὴν ἐπὶ Λακινίῳ διασαφεῖ.
the number having the inscription at Lacinium makes-clear
κατὰ δὲ τοὺς αὐτοὺς καιρούς, ὡς ἐπάνω προεῖπα, 56.5
at and the same times as above I-said-before
Πόπλιος ἀπολελοιπὼς τὰς δυνάμεις Γναίῳ τἀδελφῷ καὶ
Publius having-left the forces to-Gnaeus his-brother and
παρακεκληκὼς αὐτὸν ἔχεσθαι τῶν ἐν Ἰβηρίᾳ πραγμάτων
having-exhorted him to-hold-to the in Iberia affairs
καὶ πολεμεῖν ἐρρωμένως Ἀσδρούβᾳ, κατέπλευσε μετ᾽
and to-make-war vigorously against-Hasdrubal sailed-down with
ὀλίγων αὐτὸς εἰς Πίσας.
few himself to Pisae

56.6 ποιησάμενος δὲ τὴν πορείαν διὰ Τυρρηνίας καὶ
having-made and the march through Etruria and
παραλαβὼν τὰ παρὰ τῶν ἐξαπελέκεων στρατόπεδα τὰ
having-taken-over the from the praetors legions those
προκαθήμενα καὶ προσπολεμοῦντα τοῖς Βοίοις ἦκε
posted and fighting-against the Boii he-came
πρὸς τὰ περὶ τὸν Πάδον πεδία καὶ καταστρατοπεδεύσας
to the about the Padus plains and having-encamped
ἐπεῖχε τοῖς πολεμίοις, σπεύδων συμβαλεῖν εἰς μάχην.
he-waited-for the enemies hastening to-engage into battle

III.57–64 · INTO ITALY

Polybius keeps geography for its own place in the work: now that land and sea are open, he can correct earlier writers. Hannibal, having lost half his army in the Alps, rested it and took the chief town of the Taurini. Scipio crossed the Padus, each general amazed at the other's speed and daring, and Rome recalled Sempronius from Sicily. Hannibal set captive mountaineers to fight in single combat for prizes or release by death, and told his men they too must conquer or die. Scipio told his men that they faced men worn out by their march, Carthaginians who had paid Rome tribute.

57.1 ἡμεῖς δ' ἐπειδὴ καὶ τὴν διήγησιν καὶ τοὺς ἡγεμόνας
we and since both the narrative and the leaders
ἀμφοτέρων καὶ τὸν πόλεμον εἰς Ἰταλίαν ἠγάγομεν, πρὸ
of-both and the war into Italy we-have-brought before
τοῦ τῶν ἀγώνων ἄρξασθαι βραχέα βουλόμεθα περὶ τῶν
the the contests to-begin briefly we-wish about the
ἁρμοζόντων τῇ πραγματείᾳ διελθεῖν.
things-fitting to-the work to-go-through

ἴσως γὰρ δή τινες ἐπιζητήσουσι πῶς πεποιημένοι τὸν 57.2
perhaps for indeed some will-ask how having-made the
πλεῖστον λόγον ὑπὲρ τῶν κατὰ Λιβύην καὶ κατ' Ἰβηρίαν
most account about the in Libya and in Iberia
τόπων οὔτε περὶ τοῦ καθ' Ἡρακλέους στήλας στόματος
places neither about the at of-Heracles pillars mouth
οὐδὲν ἐπὶ πλεῖον εἰρήκαμεν οὔτε περὶ τῆς ἔξω θαλάττης
anything at more we-have-said nor about the outer sea
καὶ τῶν ἐν ταύτῃ συμβαινόντων ἰδιωμάτων,
and the in it occurring peculiarities
οὐδὲ μὴν περὶ τῶν Βρεττανικῶν νήσων καὶ τῆς τοῦ 57.3
nor indeed about the British islands and the of-the
καττιτέρου κατασκευῆς, ἔτι δὲ τῶν ἀργυρείων καὶ
tin preparation further and the silver-mines and
χρυσείων τῶν κατ' αὐτὴν Ἰβηρίαν, ὑπὲρ ὧν οἱ συγγραφεῖς
gold-mines the in itself Iberia about which the writers
ἀμφισβητοῦντες πρὸς ἀλλήλους τὸν πλεῖστον διατίθενται
disputing with each-other the most compose
λόγον.
account
ἡμεῖς δ' οὐχὶ νομίζοντες ἀλλότριον εἶναι τοῦτο τὸ μέρος 57.4
we and not thinking alien to-be this the part
τῆς ἱστορίας, διὰ τοῦτο παρελείπομεν, ἀλλὰ πρῶτον
of-the history because-of this we-omitted-it but first
μὲν οὐ βουλόμενοι παρ' ἕκαστα διασπᾶν τὴν διήγησιν
indeed not wishing at each-point to-tear-apart the narrative
οὐδ' ἀποπλανᾶν ἀπὸ τῆς πραγματικῆς ὑποθέσεως τοὺς
nor to-lead-astray from the practical subject the
φιληκοοῦντας,
lovers-of-hearing

57.5 δεύτερον δὲ κρίνοντες οὐ διερριμμένην οὐδ' ἐν παρέργῳ
second and judging not scattered nor in a-side-matter
ποιήσασθαι τὴν περὶ αὐτῶν μνήμην, ἀλλὰ κατ' ἰδίαν καὶ
to-make the about them mention but in its-own both
τόπον καὶ καιρὸν ἀπονείμαντες τῷ μέρει τούτῳ, καθ'
place and time having-assigned to-the part this as-far
ὅσον οἷοί τ' ἐσμέν, τὴν ἀλήθειαν περὶ αὐτῶν ἐξηγήσασθαι.
as able — we-are the truth about them to-relate

57.6 διόπερ οὐ χρὴ θαυμάζειν οὐδ' ἐν τοῖς ἑξῆς, ἐὰν ἐπί
therefore not it-is-needful to-wonder nor in the following if to
τινας τόπους ἐρχόμενοι τοιούτους παραλείπωμεν τοῦτο τὸ
some places coming such we-omit this the
μέρος διὰ τὰς προειρημένας αἰτίας.
part because-of the aforementioned causes

57.7 εἰ δέ τινες πάντως ἐπιζητοῦσι κατὰ τόπον καὶ κατὰ
if and some by-all-means seek by place and in
μέρος τῶν τοιούτων ἀκούειν, ἴσως ἀγνοοῦσι παραπλήσιόν
detail of-the such-things to-hear perhaps they-fail-to-see like
τι πάσχοντες τοῖς λίχνοις τῶν δειπνητῶν.
something suffering to-the gluttonous of-the diners

57.8 καὶ γὰρ ἐκεῖνοι πάντων ἀπογευόμενοι τῶν παρακειμένων
and for they of-all tasting of-the things-served
οὔτε κατὰ τὸ παρὸν οὐδενὸς ἀληθινῶς ἀπολαύουσι τῶν
neither at the present anything truly enjoy of-the
βρωμάτων οὔτ' εἰς τὸ μέλλον ὠφέλιμον ἐξ αὐτῶν τὴν
foods nor for the future beneficial from them the
ἀνάδοσιν καὶ τροφὴν κομίζονται, πᾶν δὲ τοὐναντίον·
distribution and nourishment get wholly but the-opposite

οἵ τε περὶ τὴν ἀνάγνωσιν τὸ παραπλήσιον ποιοῦντες 57.9
those both about the reading the like doing
οὔτε τῆς παραυτίκα διαγωγῆς ἀληθινῶς οὔτε τῆς εἰς τὸ
neither the immediate entertainment truly nor the for the
μέλλον ὠφελείας στοχάζονται δεόντως.
future benefit aim-at as-is-needful
διότι μὲν οὖν, εἰ καί τι τῶν τῆς ἱστορίας μερῶν ἄλλο, 58.1
that indeed therefore if even any of-the of-the history parts other
καὶ τοῦτο προσδεῖ λόγου καὶ διορθώσεως ἀληθινωτέρας,
also this needs account and correction truer
προφανὲς ἐκ πολλῶν μάλιστα δ' ἐκ τούτων.
plain from many most and from these
σχεδὸν γὰρ πάντων, εἰ δὲ μή γε, τῶν πλείστων 58.2
almost for of-all if and not at-least of-the most
συγγραφέων πεπειραμένων μὲν ἐξηγεῖσθαι τὰς ἰδιότητας
writers having-tried indeed to-relate the peculiarities
καὶ θέσεις τῶν περὶ τὰς ἐσχατιὰς τόπων τῆς καθ' ἡμᾶς
and positions of-the about the extremities places of-the in our
οἰκουμένης, ἐν πολλοῖς δὲ τῶν πλείστων διημαρτηκότων,
inhabited-world in many and of-the most having-erred
παραλείπειν μὲν οὐδαμῶς καθήκει, ῥητέον δέ τι 58.3
to-omit indeed in-no-way it-is-fitting must-be-said and something
πρὸς αὐτοὺς οὐκ ἐκ παρέργου καὶ διερριμμένως ἀλλ'
to them not as side-matter and in-scattered-fashion but
ἐξ ἐπιστάσεως, καὶ ῥητέον οὐκ ἐπιτιμῶντας οὐδ'
with attention and must-be-said not rebuking nor
ἐπιπλήττοντας,
censuring
ἐπαινοῦντας δὲ μᾶλλον καὶ διορθουμένους τὴν ἄγνοιαν 58.4
praising but rather and correcting the ignorance
αὐτῶν, γινώσκοντας ὅτι κἀκεῖνοι τῶν νῦν καιρῶν
their knowing that they-too the present times

ἐπιλαβόμενοι πολλὰ τῶν αὐτοῖς εἰρημένων εἰς διόρθωσιν
having-reached many of-the by-them said-things into correction
ἂν καὶ μετάθεσιν ἤγαγον.
— and alteration would-have-brought

58.5 ἐν μὲν γὰρ τῷ προγεγονότι χρόνῳ σπανίους ἂν εὕροι
in indeed for the past time rare — would-find
τις τῶν Ἑλλήνων τοὺς ἐπιβεβλημένους πολυπραγμονεῖν
one of-the Greeks those having-undertaken to-inquire-into
τὰ κατὰ τὰς ἐσχατιὰς διὰ τὸ τῆς ἐπιβολῆς ἀδύνατον.
the about the extremities because-of the of-the undertaking impossibility

58.6 πολλοὶ μὲν γὰρ ἦσαν οἱ κατὰ θάλατταν τότε κίνδυνοι
many indeed for were the by sea then dangers
καὶ δυσεξαρίθμητοι, πολλαπλάσιοι δὲ τούτων οἱ κατὰ γῆν.
and hard-to-count many-times-greater and than-these the by land

58.7 ἀλλ᾽ εἰ καί τις ἢ κατ᾽ ἀνάγκην ἢ κατὰ προαίρεσιν
but if even someone either by necessity or by choice
ἐξίκοιτο πρὸς τὰ πέρατα τῆς οἰκουμένης, οὐδ᾽ οὕτως
should-reach to the ends of-the inhabited-world not-even so
ἤνυεν τὸ προκείμενον.
he-accomplished the proposed

58.8 δυσχερὲς μὲν γὰρ ἐπὶ πλέον τινῶν αὐτόπτην γενέσθαι διὰ
difficult indeed for for more of-some eyewitness to-become because-of
τὸ τοὺς μὲν ἐκβεβαρβαρῶσθαι τοὺς δ᾽ ἐρήμους εἶναι τόπους,
the the indeed to-have-been-barbarized the and deserted to-be places
ἔτι δὲ χαλεπώτερον τὸ περὶ τῶν ὁραθέντων διὰ λόγου
further and harder the about the things-seen through speech
τι γνῶναι καὶ μαθεῖν διὰ τὸ τῆς φωνῆς ἐξηλλαγμένον.
anything to-know and to-learn because-of the of-the language strangeness

58.9 ἐὰν δὲ καὶ γνῷ τις, ἔτι τῶν πρὸ τοῦ δυσχερέστερον
if and even should-know someone still than-the before the more-difficult
τὸ τῶν ἑωρακότων τινὰ μετρίῳ χρῆσθαι τρόπῳ καὶ
the of-those having-seen one moderate to-use manner and

καταφρονήσαντα τῆς παραδοξολογίας καὶ τερατείας
having-despised the marvel-telling and prodigy-mongering
ἑαυτοῦ χάριν προτιμῆσαι τὴν ἀλήθειαν καὶ μηδὲν τῶν
of-himself for-the-sake-of to-prefer the truth and nothing of-the
πάρεξ ὄντων ἡμῖν ἀναγγεῖλαι.
besides being to-us to-report
διόπερ οὐ δυσχεροῦς ἀλλ᾽ ἀδυνάτου σχεδὸν ὑπαρχούσης 59.1
therefore not difficult but impossible almost being
κατά γε τοὺς προγεγονότας καιροὺς τῆς ἀληθοῦς
in at-least the earlier times of-the true
ἱστορίας ὑπὲρ τῶν προειρημένων, οὐκ εἴ τι παρέλιπον
history about the aforementioned not if anything omitted
οἱ συγγραφεῖς ἢ διήμαρτον, ἐπιτιμᾶν αὐτοῖς ἄξιον,
the writers or erred to-censure them worthy
ἀλλ᾽ ἐφ᾽ ὅσον ἔγνωσάν τι καὶ προεβίβασαν τὴν 59.2
but on as-much-as they-knew anything and advanced the
ἐμπειρίαν τὴν περὶ τούτων ἐν τοιούτοις καιροῖς, ἐπαινεῖν
knowledge the about these in such times to-praise
καὶ θαυμάζειν αὐτοὺς δίκαιον.
and to-admire them just
ἐν δὲ τοῖς καθ᾽ ἡμᾶς τῶν μὲν κατὰ τὴν Ἀσίαν διὰ 59.3
in and the in our of-the indeed in — Asia because-of
τὴν Ἀλεξάνδρου δυναστείαν τῶν δὲ λοιπῶν τόπων διὰ
the of-Alexander dominion of-the and other places because-of
τὴν Ῥωμαίων ὑπεροχὴν σχεδὸν ἁπάντων πλωτῶν καὶ
the of-Romans supremacy almost all navigable and
πορευτῶν γεγονότων,
passable having-become
ἀπολελυμένων δὲ καὶ τῶν πρακτικῶν ἀνδρῶν τῆς περὶ 59.4
having-been-freed and also the practical men from-the about
τὰς πολεμικὰς καὶ πολιτικὰς πράξεις φιλοτιμίας, ἐκ δὲ
the military and political actions ambition from and

τούτων πολλὰς καὶ μεγάλας ἀφορμὰς εἰληφότων εἰς τὸ
these many and great opportunities having-taken for the
πολυπραγμονεῖν καὶ φιλομαθεῖν περὶ τῶν προειρημένων,
to-inquire and to-love-learning about the aforementioned
59.5 δέον ἂν εἴη καὶ βέλτιον γινώσκειν καὶ ἀληθινώτερον
needful — it-would-be both better to-know and more-truly
ὑπὲρ τῶν πρότερον ἀγνοουμένων.
about the formerly unknown
59.6 ὅπερ ἡμεῖς αὐτοί τε πειρασόμεθα ποιεῖν, λαβόντες
which we ourselves both will-try to-do having-taken
ἁρμόζοντα τόπον ἐν τῇ πραγματείᾳ τῷ μέρει τούτῳ,
a-fitting place in the work for-the part this
τούς τε φιλοπευστοῦντας ὁλοσχερέστερον βουλησόμεθα
those both curious more-fully we-will-wish
συνεπιστῆσαι περὶ τῶν προειρημένων,
to-instruct about the aforementioned
59.7 ἐπειδὴ καὶ τὸ πλεῖον τούτου χάριν ὑπεδεξάμεθα τοὺς
since also the most of-this for-the-sake-of we-underwent the
κινδύνους τοὺς συμβάντας ἡμῖν ἐν πλάνῃ τῇ κατὰ Λιβύην
dangers those having-befallen us in wandering the in Libya
καὶ κατ᾽ Ἰβηρίαν, ἔτι δὲ Γαλατίαν καὶ τὴν ἔξωθεν
and in Iberia further and Gaul and the outside
ταύταις ταῖς χώραις συγκυροῦσαν θάλατταν,
these the lands lying sea
59.8 ἵνα διορθωσάμενοι τὴν τῶν προγεγονότων ἄγνοιαν ἐν
so-that having-corrected the of-the earlier(-writers) ignorance in
τούτοις γνώριμα ποιήσωμεν τοῖς Ἕλλησι καὶ ταῦτα τὰ
these known we-may-make to-the Greeks also these the
μέρη τῆς οἰκουμένης.
parts of-the inhabited-world

νῦν δ᾽ ἀναδραμόντες ἐπὶ τὴν παρέκβασιν τῆς διηγήσεως 59.9
now and having-run-back to the digression of-the narrative
πειρασόμεθα δηλοῦν τοὺς γενομένους ἐκ παρατάξεως ἐν
we-will-try to-make-clear the having-happened in pitched-battle in
Ἰταλίᾳ Ῥωμαίοις καὶ Καρχηδονίοις ἀγῶνας.
Italy for-Romans and for-Carthaginians contests
τὸ μὲν οὖν πλῆθος τῆς δυνάμεως, ὅπερ ἔχων Ἀννίβας 60.1
the indeed therefore number of-the force which having Hannibal
ἐνέβαλεν εἰς Ἰταλίαν, ἤδη δεδηλώκαμεν.
invaded into Italy already we-have-made-clear
μετὰ δὲ τὴν εἰσβολὴν καταστρατοπεδεύσας ὑπ᾽ αὐτὴν 60.2
after and the invasion having-encamped under the-very
τὴν παρώρειαν τῶν Ἄλπεων τὰς μὲν ἀρχὰς ἀνελάμβανε
— foothills of-the Alps the indeed at-first he-restored
τὰς δυνάμεις.
the forces
οὐ γὰρ μόνον ὑπὸ τῶν ἀναβάσεων καὶ καταβάσεων, 60.3
not for only by the ascents and descents
ἔτι δὲ τραχυτήτων τῶν κατὰ τὰς ὑπερβολάς, δεινῶς
further and roughnesses the at the passes terribly
τεταλαιπωρήκει τὸ σύμπαν αὐτῷ στρατόπεδον, ἀλλὰ
had-suffered-hardship the whole for-him army but
καὶ τῇ τῶν ἐπιτηδείων σπάνει καὶ ταῖς τῶν σωμάτων
also by-the of-the supplies scarcity and the of-the bodies
ἀθεραπευσίαις κακῶς ἀπήλλαττε.
neglect badly it-fared
πολλοὶ δὲ καὶ καθυφεῖνθ᾽ ἑαυτοὺς ὁλοσχερῶς διὰ τὴν 60.4
many and also had-given-up themselves utterly because-of the
ἔνδειαν καὶ συνέχειαν τῶν πόνων. οὔτε γὰρ διακομίζειν
want and continuity of-the toils neither for to-carry
εἰς τοσαύτας μυριάδας διὰ τοιούτων τόπων δαψιλῆ
for so-many myriads through such places abundant

τὰ πρὸς τὴν τροφὴν οἷοί τ᾽ ἦσαν, ἅ τε καὶ
the-things for the food able — they-were the-things both also
παρεκόμιζον, ἅμα τῇ τῶν ὑποζυγίων καταφθορᾷ καὶ
they-carried along-with the of-the pack-animals destruction also
τούτων τὰ πλεῖστα συναπώλλυτο.
of-these the most perished-with-them

60.5 διόπερ ὁρμήσας ἀπὸ τῆς τοῦ Ῥοδανοῦ διαβάσεως, πεζοὺς
therefore having-set-out from the of-the Rhone crossing infantry
μὲν εἰς ὀκτακισχιλίους καὶ τρισμυρίους ἔχων ἱππεῖς δὲ
indeed about eight-thousand and thirty-thousand having cavalry and
πλείους ὀκτακισχιλίων, σχεδόν που τὴν ἡμίσειαν τῆς
more than-eight-thousand almost somewhere the half of-the
δυνάμεως, καθάπερ ἐπάνω προεῖπον, ἐν ταῖς ὑπερβολαῖς
force as above I-said-before in the passes
διέφθειρεν.
he-lost

60.6 οἵ γε μὴν σωθέντες καὶ ταῖς ἐπιφανείαις καὶ τῇ
those at-least indeed having-been-saved both in-the appearances and in-the
λοιπῇ διαθέσει διὰ τὴν συνέχειαν τῶν προειρημένων
remaining condition because-of the continuity of-the aforementioned
πόνων οἷον ἀποτεθηριωμένοι πάντες ἦσαν.
toils as-if turned-to-beasts all were

60.7 πολλὴν οὖν ποιούμενος πρόνοιαν Ἀννίβας τῆς ἐπιμελείας
much therefore making forethought Hannibal of-the care
αὐτῶν ἀνεκτᾶτο καὶ τὰς ψυχὰς ἅμα καὶ τὰ σώματα
of-them he-restored both the spirits at-the-same-time and the bodies
τῶν ἀνδρῶν, ὁμοίως δὲ καὶ τῶν ἵππων.
of-the men likewise and also of-the horses

60.8 μετὰ δὲ ταῦτα, προσανειληφυίας ἤδη τῆς δυνάμεως, τῶν
after and these-things having-recovered already the force the
Ταυρίνων, οἳ τυγχάνουσι πρὸς τῇ παρωρείᾳ κατοικοῦντες,
Taurini who happen at the foothills dwelling

στασιαζόντων μὲν πρὸς τοὺς Ἴνσομβρας ἀπιστούντων
quarreling indeed with the Insubres distrusting
δὲ τοῖς Καρχηδονίοις,
and the Carthaginians
τὸ μὲν πρῶτον αὐτοὺς εἰς φιλίαν προυκαλεῖτο καὶ 60.9
the indeed first them to friendship he-invited and
συμμαχίαν· οὐχ ὑπακουόντων δὲ περιστρατοπεδεύσας τὴν
alliance not obeying but having-besieged the
βαρυτάτην πόλιν ἐν τρισὶν ἡμέραις ἐξεπολιόρκησεν.
chief city in three days he-took-by-siege
κατασφάξας δὲ τοὺς ἐναντιωθέντας αὐτῷ τοιοῦτον 60.10
having-slaughtered and those having-opposed him such
ἐνειργάσατο φόβον τοῖς σύνεγγυς κατοικοῦσιν τῶν
he-instilled fear in-those near dwelling of-the
βαρβάρων ὥστε πάντας ἐκ χειρὸς παραγίνεσθαι, διδόντας
barbarians that all at once to-come giving
αὑτοὺς εἰς τὴν πίστιν.
themselves into the faith
τὸ δὲ λοιπὸν πλῆθος τῶν τὰ πεδία κατοικούντων 60.11
the and remaining multitude of-those the plains inhabiting
Κελτῶν ἐσπούδαζε μὲν κοινωνεῖν τοῖς Καρχηδονίοις τῶν
Celts was-eager indeed to-share with-the Carthaginians the
πραγμάτων κατὰ τὴν ἐξ ἀρχῆς ἐπιβολήν·
affairs according-to the from the-beginning design
παρηλλαχότων δὲ τῶν Ῥωμαϊκῶν στρατοπέδων ἤδη τοὺς 60.12
having-passed-by but the Roman legions already the
πλείστους αὐτῶν καὶ διακεκλεικότων, ἡσυχίαν ἦγον· τινὲς
most of-them and having-cut-them-off quiet they-kept some
δὲ καὶ συστρατεύειν ἠναγκάζοντο τοῖς Ῥωμαίοις.
and also to-campaign-with were-compelled the Romans

60.13 εἰς ἃ βλέπων Ἀννίβας ἔκρινε μὴ μέλλειν ἀλλὰ προάγειν
at which looking Hannibal decided not to-delay but to-advance
εἰς τοὔμπροσθεν καὶ πράττειν τι πρὸς τὸ θαρρῆσαι
to the-front and to-do something for the to-take-courage
τοὺς βουλομένους μετέχειν σφίσι τῶν αὐτῶν ἐλπίδων.
those wishing to-share with-them the same hopes

61.1 προθέμενος δὲ ταῦτα καὶ τὸν Πόπλιον ἀκούων ἤδη
having-purposed and these-things and — Publius hearing already
διαβεβηκέναι τὸν Πάδον μετὰ τῶν δυνάμεων καὶ σύνεγγυς
to-have-crossed the Padus with the forces and near
εἶναι, τὸ μὲν πρῶτον ἠπίστει τοῖς προσαγγελλομένοις,
to-be the indeed first he-disbelieved the things-reported

61.2 ἐνθυμούμενος μὲν ὅτι πρότερον ἡμέραις ὀλίγαις αὐτὸν
reflecting indeed that before by-days few him
ἀπέλιπε περὶ τὴν τοῦ Ῥοδανοῦ διάβασιν, καὶ συλλογιζόμενος
he-had-left at the of-the Rhone crossing and reckoning
τόν τε πλοῦν τὸν ἀπὸ Μασσαλίας εἰς Τυρρηνίαν ὡς
the both voyage the from Massalia to Etruria how
μακρὸς καὶ δυσπαρακόμιστος εἴη,
long and hard-to-accomplish it-would-be

61.3 πρὸς δὲ τούτοις τὴν πορείαν ἱστορῶν τὴν ἀπὸ τοῦ
besides and these the march learning the from the
Τυρρηνικοῦ πελάγους διὰ τῆς Ἰταλίας μέχρι πρὸς τὰς
Tyrrhenian sea through — Italy as-far as the
Ἄλπεις ὡς πολλὴ καὶ δυσδίοδος ὑπάρχει στρατοπέδοις.
Alps how long and hard-to-traverse it-is for-armies

61.4 πλειόνων δὲ καὶ σαφεστέρως ἀεὶ προσαγγελλόντων,
more and and more-clearly always reporting
ἐθαύμαζε καὶ κατεπέπληκτο τὴν ὅλην ἐπιβολὴν καὶ τὴν
he-wondered and was-amazed-at the whole undertaking and the
πρᾶξιν τοῦ στρατηγοῦ.
action of-the general

τὸ δὲ παραπλήσιον συνέβαινε πάσχειν καὶ τὸν Πόπλιον· τὰς 61.5
the and like it-happened to-experience also — Publius the
μὲν γὰρ ἀρχὰς οὐδ' ἐπιβάλλεσθαι τῇ διὰ τῶν Ἄλπεων
indeed for at-first not-even to-attempt the through the Alps
ἤλπισε πορείᾳ τὸν Ἀννίβαν δυνάμεσιν ἀλλοφύλοις· εἰ δὲ καὶ
he-expected march — Hannibal with-forces foreign if and even
τολμήσαι, καταφθαρήσεσθαι προδήλως αὐτὸν ὑπελάμβανεν.
he-should-dare to-be-going-to-perish evidently him he-supposed
διόπερ ἐν τοιούτοις ὢν διαλογισμοῖς, ὡς ἐπυνθάνετο καὶ 61.6
therefore in such being reasonings when he-learned both
σεσῶσθαι καὶ πολιορκεῖν αὐτὸν ἤδη τινὰς πόλεις ἐν
to-have-been-saved and to-be-besieging him already some cities in
Ἰταλίᾳ, κατεπέπληκτο τὴν τόλμαν καὶ τὸ παράβολον
Italy he-was-amazed-at the daring and the recklessness
τἀνδρός.
of-the-man
τὸ δ' αὐτὸ συνέβαινεν καὶ τοῖς ἐν τῇ Ῥώμῃ πεπονθέναι 61.7
the and same happened also to-those in — Rome to-have-experienced
περὶ τῶν προσπιπτόντων.
about the things-reported
ἄρτι γὰρ τῆς τελευταίας φήμης καταληγούσης ὑπὲρ τῶν 61.8
just for the last report subsiding about the
Καρχηδονίων ὅτι Ζάκανθαν εἰλήφασιν, καὶ πρὸς ταύτην
Carthaginians that Saguntum they-have-taken and to this
βεβουλευμένων τὴν ἔννοιαν, καὶ τὸν μὲν ἕνα τῶν στρατηγῶν
having-planned the thought and the indeed one of-the consuls
ἐξαπεσταλκότων εἰς τὴν Λιβύην, ὡς αὐτὴν τὴν Καρχηδόνα
having-sent-out to — Libya as the-very — Carthage
πολιορκήσοντα, τὸν ἕτερον δ' εἰς Ἰβηρίαν, ὡς πρὸς Ἀννίβαν
to-be-going-to-besiege the other and to Iberia as against Hannibal

ἐκεῖ διαπολεμήσοντα, παρῆν ἀγγελία διότι πάρεστιν Ἀννίβας
there to-be-going-to-fight-it-out came a-message that is-present Hannibal
μετὰ δυνάμεως καὶ πολιορκεῖ τινας ἤδη πόλεις ἐν Ἰταλίᾳ.
with a-force and is-besieging some already cities in Italy
61.9 διότι παραδόξου φανέντος αὐτοῖς τοῦ γινομένου,
therefore unexpected having-appeared to-them the happening
διαταραχθέντες παραχρῆμα πρὸς τὸν Τεβέριον εἰς τὸ
thrown-into-confusion at-once to — Tiberius at —
Λιλύβαιον ἐξαπέστελλον, δηλοῦντες μὲν τὴν παρουσίαν
Lilybaeum they-sent making-clear indeed the arrival
τῶν πολεμίων, οἰόμενοι δὲ δεῖν ἀφέμενον τῶν
of-the enemies thinking and it-to-be-needful having-let-go the
προκειμένων κατὰ σπουδὴν βοηθεῖν τοῖς ἰδίοις πράγμασιν.
things-in-hand in haste to-help the own affairs
61.10 ὁ δὲ Τεβέριος τοὺς μὲν ἀπὸ τοῦ στόλου παραυτίκα
— and Tiberius those indeed from the fleet at-once
συναθροίσας ἐξέπεμψε, παραγγείλας ποιεῖσθαι τὸν πλοῦν
having-gathered sent-out having-ordered to-make the voyage
ὡς ἐπ᾽ οἴκου· τὰς δὲ πεζικὰς δυνάμεις ἐξώρκισε διὰ
as for home the and infantry forces he-bound-by-oath through
τῶν χιλιάρχων, τάξας ἡμέραν ἐν ᾗ δεήσει
the tribunes having-appointed a-day on which it-will-be-needful
πάντας ἐν Ἀριμίνῳ γενέσθαι κοιταίους.
all at Ariminum to-be by-bedtime
61.11 αὕτη δ᾽ ἔστι πόλις παρὰ τὸν Ἀδρίαν ἐπὶ τῷ πέρατι
this and is a-city by the Adriatic at the end
κειμένη τῶν περὶ τὸν Πάδον πεδίων ὡς ἀπὸ μεσημβρίας.
lying of-the about the Padus plains as from south
61.12 πανταχόθεν δὲ τοῦ κινήματος ἅμα γινομένου, καὶ
from-every-side and the upheaval at-the-same-time happening and
τῶν συμβαινόντων πᾶσι παρὰ δόξαν προσπιπτόντων,
the events to-all contrary-to expectation befalling

ἦν παρ᾽ ἑκάστοις ἐπίστασις ὑπὲρ τοῦ μέλλοντος οὐκ
was among each concern about the future not
εὐκαταφρόνητος.
to-be-despised
κατὰ δὲ τὸν καιρὸν τοῦτον ἤδη συνεγγίζοντες ἀλλήλοις 62.1
at and the time this already approaching each-other
Ἀννίβας καὶ Πόπλιος ἐπεβάλοντο παρακαλεῖν τὰς ἑαυτῶν
Hannibal and Publius undertook to-exhort the their-own
δυνάμεις, ἑκάτερος προθέμενος τὰ πρέποντα τοῖς
forces each having-set-forth the-things fitting to-the
παροῦσι καιροῖς.
present times
Ἀννίβας μὲν οὖν διὰ τοιοῦδέ τινος ἐνεχείρει τρόπου 62.2
Hannibal indeed therefore through such a he-attempted way
ποιεῖσθαι τὴν παραίνεσιν.
to-make the exhortation
συναγαγὼν γὰρ τὰ πλήθη παρήγαγεν νεανίσκους τῶν 62.3
having-gathered for the masses he-brought-forward young-men of-the
αἰχμαλώτων, οὓς εἰλήφει κακοποιοῦντας τὴν πορείαν ἐν
prisoners whom he-had-taken doing-mischief-to the march in
ταῖς περὶ τὰς Ἄλπεις δυσχωρίαις.
the about the Alps difficult-ground
τούτους δὲ κακῶς διετίθετο, παρασκευαζόμενος πρὸς τὸ 62.4
these and badly he-had-treated preparing for the
μέλλον· καὶ γὰρ δεσμοὺς εἶχον βαρεῖς καὶ τῷ λιμῷ
future both for bonds they-had heavy and by-the hunger
συνέσχηντο, καὶ ταῖς πληγαῖς αὐτῶν τὰ σώματα διέφθαρτο.
they-had-been-held and by-the blows their the bodies had-been-ruined
καθίσας οὖν τούτους εἰς τὸ μέσον προέθηκε πανοπλίας 62.5
having-seated therefore these in the middle he-set-out suits-of-armor
Γαλατικάς, οἵαις εἰώθασιν οἱ βασιλεῖς αὐτῶν, ὅταν
Gallic such-as are-wont the kings their whenever

μονομαχεῖν μέλλωσιν, κατακοσμεῖσθαι· πρὸς δὲ τούτοις
to-fight-single-combat they-are-about to-adorn-themselves besides and these
ἵππους παρέστησε καὶ σάγους εἰσήνεγκε πολυτελεῖς.
horses he-placed-beside and cloaks he-brought-in costly

62.6 κἄπειτα τῶν νεανίσκων ἤρετο τίνες αὐτῶν βούλονται
and-then of-the young-men he-asked which of-them wish
διαγωνίσασθαι πρὸς ἀλλήλους ἐφ' ᾧ τὸν μὲν νικήσαντα
to-contend with each-other on condition the indeed having-conquered
τὰ προκείμενα λαμβάνειν ἆθλα, τὸν δ' ἡττηθέντα τῶν
the set-out to-take prizes the and defeated from-the
παρόντων ἀπηλλάχθαι κακῶν, τελευτήσαντα τὸν βίον.
present to-be-released evils having-ended the life

62.7 πάντων δ' ἀναβοησάντων ἅμα καὶ δηλούντων ὅτι
all and having-shouted at-once and showing that
βούλονται μονομαχεῖν, κληρώσασθαι προσέταξε καὶ δύο
they-wish to-fight-single-combat to-draw-lots he-ordered and two
τοὺς λαχόντας καθοπλισαμένους ἐκέλευσε μάχεσθαι πρὸς
those having-drawn having-armed-themselves he-bade to-fight with
ἀλλήλους.
each-other

62.8 παραυτίκα μὲν οὖν ἀκούσαντες οἱ νεανίσκοι ταῦτα
at-once indeed therefore having-heard the young-men these-things
καὶ τὰς χεῖρας ἐξαίροντες εὔχοντο τοῖς θεοῖς, σπεύδων
and the hands raising prayed to-the gods hastening
ἕκαστος αὐτὸς γενέσθαι τῶν λαχόντων.
each himself to-be of-those drawing

62.9 ἐπεὶ δ' ἐδηλώθη τὰ κατὰ τὸν κλῆρον, ἦσαν οἱ
when and was-made-known the-things about the lot were those
μὲν εἰληχότες περιχαρεῖς, οἱ δ' ἄλλοι τοὐναντίον.
indeed having-drawn overjoyed the and others the-opposite

γενομένης δὲ τῆς μάχης οὐχ ἧττον ἐμακάριζον οἱ 62.10
having-happened and the fight not less called-blessed the
περιλειπόμενοι τῶν αἰχμαλώτων τὸν τεθνεῶτα τοῦ
remaining of-the prisoners the dead-one than-the
νενικηκότος, ὡς πολλῶν καὶ μεγάλων κακῶν ἐκείνου μὲν
victor as from-many and great evils that-one indeed
ἀπολελυμένου, σφᾶς δ' αὐτοὺς ἀκμὴν ὑπομένοντας.
having-been-released them but selves still enduring
ἦν δὲ παραπλησία καὶ περὶ τοὺς πολλοὺς τῶν 62.11
was and like also among the many of-the
Καρχηδονίων ἡ διάληψις· ἐκ παραθέσεως γὰρ θεωρουμένης
Carthaginians the judgment by comparison for being-viewed
τῆς τῶν ἀγομένων καὶ ζώντων ταλαιπωρίας, τούτους
the of-those being-led and living misery these
μὲν ἠλέουν, τὸν δὲ τεθνεῶτα πάντες ἐμακάριζον.
indeed they-pitied the and dead all called-blessed
Ἀννίβας δὲ διὰ τῶν προειρημένων τὴν προκειμένην 63.1
Hannibal and through the aforementioned the proposed
διάθεσιν ἐνεργασάμενος ταῖς τῶν δυνάμεων ψυχαῖς,
disposition having-produced in-the of-the forces spirits
μετὰ ταῦτα προελθὼν αὐτὸς τούτου χάριν ἔφη 63.2
after these-things having-come-forward himself of-this for-the-sake-of he-said
παρεισάγειν τοὺς αἰχμαλώτους, ἵν' ἐπὶ τῶν ἀλλοτρίων
to-bring-in the prisoners so-that in the of-others
συμπτωμάτων ἐναργῶς θεασάμενοι τὸ συμβαῖνον βέλτιον
misfortunes vividly having-seen the happening better
ὑπὲρ τῶν σφίσι παρόντων βουλεύωνται πραγμάτων.
about the to-them present they-may-deliberate affairs

63.3 εἰς παραπλήσιον γὰρ αὐτοὺς ἀγῶνα καὶ καιρὸν τὴν
into like for them contest and crisis the
τύχην συγκεκλεικέναι καὶ παραπλήσια τοῖς νῦν ἆθλα
fortune to-have-shut and like to-the present prizes
προτεθεικέναι.
to-have-set-before

63.4 δεῖν γὰρ ἢ νικᾶν ἢ θνήσκειν ἢ τοῖς ἐχθροῖς
it-to-be-needful for either to-conquer or to-die or to-the enemies
ὑποχειρίους γενέσθαι ζῶντας. εἶναι δ' ἐκ μὲν τοῦ
subject to-become living to-be and from indeed the
νικᾶν ἆθλον οὐχ ἵππους καὶ σάγους, ἀλλὰ τὸ πάντων
to-conquer prize not horses and cloaks but the of-all
ἀνθρώπων γενέσθαι μακαριωτάτους, κρατήσαντας τῆς
men to-become most-blessed having-mastered the
Ῥωμαίων εὐδαιμονίας,
of-Romans prosperity

63.5 ἐκ δὲ τοῦ μαχομένους τι παθεῖν, διαγωνιζομένους
from and the fighting something to-suffer contending
ἕως τῆς ἐσχάτης ἀναπνοῆς ὑπὲρ τῆς καλλίστης ἐλπίδος
until the last breath for the finest hope
μεταλλάξαι τὸν βίον ἐν χειρῶν νόμῳ, μηδενὸς κακοῦ
to-change the life in hands' law of-no evil
λαβόντας πεῖραν,
having-taken trial

63.6 τοῖς δ' ἡττωμένοις καὶ διὰ τὴν πρὸς τὸ ζῆν ἐπιθυμίαν
for-those and being-defeated and because-of the for the to-live desire
ὑπομένουσι φεύγειν ἢ κατ' ἄλλον τινὰ τρόπον ἑλομένοις
enduring to-flee or in other some way having-chosen
τὸ ζῆν παντὸς κακοῦ καὶ πάσης ἀτυχίας μετασχεῖν.
the to-live of-every evil and every misfortune to-partake

οὐδένα γὰρ οὕτως ἀλόγιστον οὐδὲ νωθρὸν αὐτῶν ὑπάρχειν, 63.7
no-one for so unreasoning nor sluggish of-them to-be
ὃς μνημονεύων μὲν τοῦ μήκους τῆς ὁδοῦ τῆς διηνυσμένης
who remembering indeed the length of-the road the traversed
ἐκ τῶν πατρίδων, μνημονεύων δὲ τοῦ πλήθους τῶν μεταξὺ
from the fatherlands remembering and the number of-the between
πολεμίων, εἰδὼς δὲ τὰ μεγέθη τῶν ποταμῶν ὧν διεπέρασεν,
enemies knowing and the sizes of-the rivers which he-crossed
ἐλπίσαι ποτ' ἂν ὅτι φεύγων εἰς τὴν οἰκείαν ἀφίξεται.
to-hope ever — that fleeing to the home he-will-arrive
διόπερ ᾤετο δεῖν αὐτούς, ἀποκεκομμένης καθόλου 63.8
therefore he-thought it-to-be-needful them cut-off entirely
τῆς τοιαύτης ἐλπίδος, τὴν αὐτὴν διάληψιν ποιεῖσθαι περὶ
the such hope the same judgment to-make about
τῶν καθ' αὑτοὺς πραγμάτων ἥνπερ ἀρτίως ἐποιοῦντο
the concerning themselves affairs which just-now they-made
περὶ τῶν ἀλλοτρίων συμπτωμάτων.
about the of-others misfortunes
καθάπερ γὰρ ἐπ' ἐκείνων τὸν μὲν νικήσαντα καὶ 63.9
as for in-the-case-of those the indeed having-conquered and
τεθνεῶτα πάντες ἐμακάριζον τοὺς δὲ ζῶντας ἠλέουν, οὕτως
having-died all called-blessed the and living they-pitied so
ᾤετο δεῖν καὶ περὶ τῶν καθ' αὑτοὺς διαλαμβάνειν
he-thought it-to-be-needful also about the concerning themselves to-judge
καὶ πάντας ἰέναι πρὸς τοὺς ἀγῶνας, μάλιστα μὲν
and all to-go to the contests most indeed
νικήσοντας, ἂν δὲ μὴ τοῦτ' ᾖ δυνατόν, ἀποθανουμένους.
to-be-going-to-conquer if but not this be possible to-be-going-to-die
τὴν δὲ τοῦ ζῆν ἡττημένους ἐλπίδα κατὰ μηδένα τρόπον 63.10
the and of-the to-live having-been-defeated hope in no way
ἠξίου λαμβάνειν ἐν νῷ.
he-asked to-take in mind

63.11 τούτῳ γὰρ χρησαμένων αὐτῶν τῷ λογισμῷ καὶ τῇ
this for having-used them the reasoning and the
προθέσει ταύτῃ, καὶ τὸ νικᾶν ἅμα καὶ τὸ σῴζεσθαι
purpose this both the to-conquer at-the-same-time and the to-be-saved
προδήλως σφίσι συνεξακολουθήσειν.
evidently for-them to-be-going-to-follow

63.12 πάντας γὰρ τοὺς ἢ κατὰ προαίρεσιν ἢ κατ' ἀνάγκην
all for those either by choice or by necessity
τοιαύτῃ προθέσει κεχρημένους οὐδέποτε διεψεῦσθαι τοῦ
such purpose having-used never to-have-failed of-the
κρατεῖν τῶν ἀντιταξαμένων.
to-master those arrayed-against

63.13 ὅταν δὲ δὴ καὶ τοῖς πολεμίοις συμβαίνῃ τὴν ἐναντίαν
whenever and indeed also for-the enemies it-happens the opposite
ἐλπίδα ταύτης ὑπάρχειν, ὃ νῦν ἐστι περὶ Ῥωμαίους,
hope to-this to-be which now is about Romans
ὥστε φεύγουσι πρόδηλον εἶναι τοῖς πλείστοις τὴν
so-that for-those-fleeing evident to-be for-the most the
σωτηρίαν, παρακειμένης αὐτοῖς τῆς οἰκείας, δῆλον ὡς
safety lying-near them the home clear that
ἀνυπόστατος γίνοιτ' ἂν ἡ τῶν ἀπηλπικότων τόλμα.
irresistible would-become — the of-those having-despaired daring

63.14 τῶν δὲ πολλῶν ἀποδεχομένων τό τε παράδειγμα καὶ
the and many accepting the both example and
καὶ τοὺς διασαφήσοντας εἰς τὴν Καρχηδόνα περὶ τῶν
also those to-be-going-to-report to — Carthage about the-things
γεγονότων· τότε γὰρ πρῶτον ἥψατο θαλάττης, ἀφ' οὗ
having-happened then for first he-touched the-sea since which
τὴν εἰσβολὴν ἐποιήσατο τὴν εἰς Ἰταλίαν.
the invasion he-made the into Italy

87.5 ἐφ' οἷς ἀκούσαντες μεγαλείως ἐχάρησαν οἱ Καρχηδόνιοι
at which having-heard magnificently rejoiced the Carthaginians
καὶ πολλὴν ἐποιοῦντο σπουδὴν καὶ πρόνοιαν ὑπὲρ τοῦ
and much made effort and forethought for the

κατὰ πάντα τρόπον ἐπικουρεῖν καὶ τοῖς ἐν Ἰταλίᾳ καὶ
in every way to-help both the in Italy and
τοῖς ἐν Ἰβηρίᾳ πράγμασι.
the in Iberia affairs
Ῥωμαῖοι δὲ δικτάτορα μὲν κατέστησαν Κόιντον Φάβιον, 87.6
Romans and dictator indeed appointed Quintus Fabius
ἄνδρα καὶ φρονήσει διαφέροντα καὶ πεφυκότα καλῶς. ἔτι
a-man both in-wisdom excelling and endowed well still
γοῦν ἐπεκαλοῦντο καὶ καθ' ἡμᾶς οἱ ταύτης τῆς οἰκίας
at-any-rate were-surnamed also in our the of-this the house
Μάξιμοι, τοῦτο δ' ἔστι μέγιστοι, διὰ τὰς ἐκείνου
Maximi this and is greatest because-of the his
τἀνδρὸς ἐπιτυχίας καὶ πράξεις.
the-man's successes and deeds
ὁ δὲ δικτάτωρ ταύτην ἔχει τὴν διαφορὰν τῶν 87.7
the and dictator this has the difference from-the
ὑπάτων· τῶν μὲν γὰρ ὑπάτων ἑκατέρῳ δώδεκα πελέκεις
consuls of-the indeed for consuls each twelve axes
ἀκολουθοῦσι,
follow
τούτῳ δ' εἴκοσι καὶ τέτταρες, κἀκεῖνοι μὲν ἐν πολλοῖς 87.8
him and twenty and four and-they indeed in many-things
προσδέονται τῆς συγκλήτου πρὸς τὸ συντελεῖν τὰς
need the senate for the to-accomplish the
ἐπιβολάς, οὗτος δ' ἔστιν αὐτοκράτωρ στρατηγός, οὗ
plans he and is absolute general who
κατασταθέντος παραχρῆμα διαλύεσθαι συμβαίνει πάσας
having-been-appointed at-once to-be-dissolved it-happens all
τὰς ἀρχὰς ἐν τῇ Ῥώμῃ πλὴν τῶν δημάρχων.
the magistracies in — Rome except the tribunes

87.9 οὐ μὴν ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις ἀκριβεστέραν
not however but about indeed these in other-places more-exact
ποιησόμεθα τὴν διαστολήν. ἅμα δὲ τῷ δικτάτορι
we-will-make the distinction at-the-same-time and with-the dictator
κατέστησαν ἱππάρχην Μάρκον Μινύκιον. οὗτος δὲ
they-appointed master-of-horse Marcus Minucius he and
τέτακται μὲν ὑπὸ τὸν αὐτοκράτορα, γίνεται δ' οἱονεὶ
is-ranked indeed under the dictator becomes and as-it-were
διάδοχος τῆς ἀρχῆς ἐν τοῖς ἐκείνου περισπασμοῖς.
successor of-the command in the his distractions

88.1 Ἀννίβας δὲ κατὰ βραχὺ μεταθεὶς τὴν παρεμβολὴν
Hannibal and by little having-shifted the camp
ἐνδιέτριβε τῇ παρὰ τὸν Ἀδρίαν χώρᾳ καὶ τοὺς μὲν
spent-time in-the by the Adriatic land and the indeed
ἵππους ἐκλούων τοῖς παλαιοῖς οἴνοις διὰ τὸ πλῆθος
horses washing with-the old wines because-of the abundance
ἐξεθεράπευσε τὴν καχεξίαν αὐτῶν καὶ τὴν ψώραν,
he-cured the ill-condition their and the mange

88.2 παραπλησίως δὲ καὶ τῶν ἀνδρῶν τοὺς μὲν τραυματίας
likewise and also of-the men the indeed wounded
ἐξυγίασε, τοὺς δὲ λοιποὺς εὐέκτας παρεσκεύασε καὶ
he-healed the and rest fit he-made and
προθύμους εἰς τὰς ἐπιφερομένας χρείας.
eager for the coming tasks

88.3 διελθὼν δὲ καὶ καταφθείρας τήν τε Πραιτεττιανὴν
having-gone-through and and having-ravaged the both Praetutian
καὶ τὴν Ἀδριανὴν ἔτι δὲ τὴν Μαρρουκίνην καὶ Φρεντανὴν
and the Hadrian further and the Marrucine and Frentanian
χώραν ὥρμησε ποιούμενος τὴν πορείαν εἰς τὴν Ἰαπυγίαν.
land he-set-out making the march into — Iapygia

ἧς διῃρημένης εἰς τρεῖς ὀνομασίας, καὶ τῶν μὲν 88.4
which being-divided into three names and of-the indeed
προσαγορευομένων Δαυνίων, τῶν δὲ Πευκετίων, τῶν δὲ
called Daunians the and Peucetians the and
Μεσσαπίων, εἰς πρώτην ἐνέβαλε τὴν Δαυνίαν.
Messapians into first he-invaded — Daunia
ἀρξάμενος δὲ ταύτης ἀπὸ Λουκαρίας, οὔσης ἀποικίας 88.5
having-begun and this from Luceria being a-colony
Ῥωμαίων, ἐπόρθει τὴν χώραν.
of-Romans he-ravaged the land
μετὰ δὲ ταῦτα καταστρατοπεδεύσας περὶ τὸ καλούμενον 88.6
after and these-things having-encamped about the called
Οἰβώνιον ἐπέτρεχε τὴν Ἀργυριππανὴν καὶ πᾶσαν ἀδεῶς
Vibonium he-overran the Argyrippan(-land) and all without-fear
ἐλεηλάτει τὴν Δαυνίαν.
plundered — Daunia
ἐν ᾧ καιρῷ καὶ Φάβιος μετὰ τὴν κατάστασιν θύσας 88.7
at which time also Fabius after the appointment having-sacrificed
τοῖς θεοῖς ἐξώρμησε μετὰ τοῦ συνάρχοντος καὶ τῶν ἐκ
to-the gods set-out with the colleague and the from
τοῦ καιροῦ καταγραφέντων τεττάρων στρατοπέδων.
the occasion enrolled four legions
συμμίξας δὲ ταῖς ἀπ' Ἀριμίνου βοηθούσαις δυνάμεσι περὶ τὴν 88.8
having-joined and the from Ariminum coming-to-help forces about —
Ναρνίαν, Γνάιον μὲν τὸν ὑπάρχοντα στρατηγὸν ἀπολύσας
Narnia Gnaeus indeed the existing general having-released
τῆς κατὰ γῆν στρατείας ἐξαπέστειλε μετὰ παραπομπῆς
from-the by land service he-sent-off with escort
εἰς τὴν Ῥώμην, ἐντειλάμενος, ἐάν τι κατὰ θάλατταν
to — Rome having-instructed if anything by sea
κινῶνται Καρχηδόνιοι, βοηθεῖν ἀεὶ τοῖς ὑποπίπτουσι καιροῖς,
stir Carthaginians to-help always the arising occasions

88.9 αὐτὸς δὲ μετὰ τοῦ συνάρχοντος παραλαβὼν τὰς δυνάμεις
he-himself and with the colleague having-taken-over the forces
ἀντεστρατοπέδευσε τοῖς Καρχηδονίοις περὶ τὰς Αἴκας
encamped-against the Carthaginians about the Aecae
καλουμένας, ἀπέχων τῶν πολεμίων περὶ πεντήκοντα
called being-distant from-the enemies about fifty
σταδίους.
stades

89.1 Ἀννίβας δὲ συνεὶς τὴν παρουσίαν τοῦ Φαβίου καὶ
Hannibal and having-perceived the arrival — of-Fabius and
βουλόμενος ἐξ ἐφόδου καταπλήξασθαι τοὺς ὑπεναντίους,
wishing at the-first-onset to-terrify the opponents
ἐξαγαγὼν τὴν δύναμιν καὶ συνεγγίσας τῷ τῶν Ῥωμαίων
having-led-out the force and having-approached the of-the Romans
χάρακι παρετάξατο. χρόνον δέ τινα μείνας, οὐδενὸς
stockade drew-up time and some having-waited no-one
ἐπεξιόντος αὖθις ἀνεχώρησεν εἰς τὴν ἑαυτοῦ παρεμβολήν.
coming-out again withdrew into the his-own camp

89.2 ὁ γὰρ Φάβιος διεγνωκὼς μήτε παραβάλλεσθαι μήτε
— for Fabius having-resolved neither to-hazard nor
διακινδυνεύειν, στοχάζεσθαι δὲ πρῶτον καὶ μάλιστα τῆς
to-risk-battle to-aim but first and most at-the
ἀσφαλείας τῶν ὑποταττομένων, ἔμενε βεβαίως ἐπὶ τῆς
safety of-the being-placed-under(-him) remained firmly in the
διαλήψεως ταύτης.
judgment this

89.3 τὰς μὲν οὖν ἀρχὰς κατεφρονεῖτο καὶ παρεῖχε λόγον ὡς
the indeed therefore at-first he-was-despised and gave talk as
ἀποδεδειλιακὼς καὶ καταπεπληγμένος τὸν κίνδυνον, τῷ
having-turned-coward and terrified-at the danger in-the
δὲ χρόνῳ πάντας ἠνάγκασε παρομολογῆσαι καὶ συγχωρεῖν
but time all he-compelled to-acknowledge and to-concede

ὡς οὔτε νουνεχέστερον οὔτε φρονιμώτερον οὐδένα δυνατὸν
that neither more-sensibly nor more-wisely anyone possible
ἦν χρῆσθαι τοῖς τότε περιεστῶσι καιροῖς.
was to-use the then surrounding times
ταχὺ δὲ καὶ τὰ πράγματα προσεμαρτύρησε τοῖς λογισμοῖς 89.4
quickly and also the events bore-witness to-the reasonings
αὐτοῦ. καὶ τοῦτ᾽ εἰκότως ἐγένετο.
his and this naturally happened
τὰς μὲν γὰρ τῶν ὑπεναντίων δυνάμεις συνέβαινε 89.5
the indeed for of-the opponents forces it-happened
γεγυμνάσθαι μὲν ἐκ τῆς πρώτης ἡλικίας συνεχῶς ἐν
to-have-been-trained indeed from the first age continuously in
τοῖς πολεμικοῖς, ἡγεμόνι δὲ χρῆσθαι συντεθραμμένῳ σφίσι
the things-of-war a-leader and to-use reared-with them
καὶ παιδομαθεῖ περὶ τὰς ἐν τοῖς ὑπαίθροις χρείας,
and trained-from-boyhood in the in the open-field tasks
νενικηκέναι δὲ πολλὰς μὲν ἐν Ἰβηρίᾳ μάχας, δὶς δὲ 89.6
to-have-conquered and many indeed in Iberia battles twice and
Ῥωμαίους ἑξῆς καὶ τοὺς συμμάχους αὐτῶν, τὸ δὲ
Romans in-succession and the allies their the and
μέγιστον, ἀπεγνωκότας πάντα μίαν ἔχειν ἐλπίδα τῆς
greatest having-despaired-of everything one to-have hope of-the
σωτηρίας τὴν ἐν τῷ νικᾶν·
safety the in the to-conquer
περὶ δὲ τὴν τῶν Ῥωμαίων στρατιὰν τἀναντία τούτοις 89.7
about and the of-the Romans army the-opposite to-these
ὑπῆρχε.
was
διόπερ εἰς μὲν τὸν ὑπὲρ τῶν ὅλων κίνδυνον οὐχ οἷός τ᾽ ἦν 89.8
therefore into indeed the about the whole danger not able — was
συγκαταβαίνειν, προδήλου τῆς ἐλαττώσεως ὑπαρχούσης· εἰς
to-come-down evident the defeat being into

δὲ τὰ σφέτερα προτερήματα τοῖς λογισμοῖς ἀναχωρήσας
and the his-own advantages in-the reasonings having-withdrawn
ἐν τούτοις διέτριβε καὶ διὰ τούτων ἐχείριζε τὸν πόλεμον.
in these he-spent-time and through these he-handled the war
89.9 ἦν δὲ τὰ προτερήματα Ῥωμαίων ἀκατάτριπτα χορήγια
were and the advantages of-Romans inexhaustible supplies
καὶ χειρῶν πλῆθος.
and of-hands number

III.90–94 · CAMPANIA AND THE OXEN

Fabius shadowed Hannibal and picked off foragers, though Minucius slandered him. Hannibal entered Campania's Falernian plain, Italy's finest, ringed by mountains, to force Fabius to fight or show the allies Rome had yielded the country; yet no city revolted. Fabius held the pass to trap him and his booty. Hannibal drove two thousand oxen with torches on their horns up a ridge by night; the pass's guards left it to meet them, and his army escaped with its spoil. Blamed, Fabius left for Rome; Minucius was bent on battle.

90.1 διόπερ κατὰ τοὺς ἑξῆς χρόνους ἀντιπαρῆγεν τοῖς
therefore in the following times he-marched-alongside the
πολεμίοις ἀεὶ καὶ τοὺς εὐκαίρους προκατελάμβανε τόπους
enemies always and the opportune seized-beforehand places
κατὰ τὴν ἐμπειρίαν.
according-to the experience
90.2 ἔχων δὲ κατὰ νώτου τὰς χορηγίας ἀφθόνους οὐδέποτε τοὺς
having and in rear the supplies abundant never the
στρατιώτας ἠφίει προνομεύειν οὐδὲ χωρίζεσθαι καθάπαξ
soldiers he-let to-forage nor to-separate at-all

ἐκ τοῦ χάρακος, ἅθρους δ' ἀεὶ καὶ συνεστραμμένους
from the stockade in-a-body and always and massed
τηρῶν ἐφήδρευε τοῖς τόποις καὶ καιροῖς.
keeping he-lay-in-wait-for the places and occasions
καὶ πολλοὺς τῶν πολεμίων ἀποσπωμένους ἀπὸ τῆς ἰδίας 90.3
and many of-the enemies straying from the own
παρεμβολῆς ἐπὶ τὰς προνομὰς διὰ τὸ καταφρονεῖν
camp for the foraging because-of the to-despise
ὑποχειρίους ἐλάμβανε καὶ κατέφθειρε τῷ τοιούτῳ τρόπῳ.
subject he-took and destroyed in-the such way
ταῦτα δ' ἐποίει, βουλόμενος ἅμα μὲν ἀφ' ὡρισμένου 90.4
these-things and he-did wishing at-the-same-time indeed from a-limited
πλήθους ἐλαττοῦν ἀεὶ τοὺς ὑπεναντίους, ἅμα
number to-reduce always the opponents at-the-same-time
δὲ τὰς τῶν ἰδίων δυνάμεων ψυχὰς προηττημένας τοῖς
and the of-the own forces spirits previously-defeated in-the
ὅλοις διὰ τῶν κατὰ μέρος προτερημάτων κατὰ βραχὺ
whole through the in detail successes by little
σωματοποιεῖν καὶ προσαναλαμβάνειν.
to-strengthen and to-restore
εἰς ὁλοσχερῆ δὲ κρίσιν ἐξ ὁμολόγου συγκαταβαίνειν 90.5
into decisive and decision by agreement to-come-down
οὐδαμῶς οἷός τ' ἦν.
in-no-way able — was
οὐ μὴν Μάρκῳ γε τῷ συνάρχοντι τούτων οὐδὲν 90.6
not however to-Marcus at-least the colleague of-these anything
ἤρεσκεν. σύμψηφον δὲ τοῖς ὄχλοις ποιῶν αὑτὸν τὸν μὲν
pleased of-one-vote and with-the masses making himself — indeed
Φάβιον κατελάλει πρὸς πάντας, ὡς ἀγεννῶς χρώμενον
Fabius he-slandered to all as ignobly using

τοῖς πράγμασιν καὶ νωθρῶς, αὐτὸς δὲ πρόθυμος ἦν
the affairs and sluggishly he-himself and eager was
παραβάλλεσθαι καὶ διακινδυνεύειν.
to-hazard and to-risk-battle

90.7 οἱ δὲ Καρχηδόνιοι καταφθείραντες τοὺς προειρημένους
the and Carthaginians having-ravaged the aforementioned
τόπους ὑπερέβαλον τὸν Ἀπεννῖνον καὶ κατάραντες εἰς τὴν
places crossed the Apennine and having-descended into the
Σαυνῖτιν χώραν, οὖσαν εὐδαίμονα καὶ πολλῶν χρόνων
Samnite land being prosperous and for-many times
ἀπολέμητον, ἐν τοιαύτῃ περιουσίᾳ τῶν ἐπιτηδείων ἦσαν
unwarred in such abundance of-the provisions they-were
ὥστε μήτε χρωμένους μήτε καταφθείροντας ἀνύειν
that neither using nor destroying to-get-through
δύνασθαι τὰς λείας.
to-be-able the booty

90.8 κατέδραμον δὲ καὶ τὴν Οὐενοαντανήν, Ῥωμαίων ἀποικίαν
they-overran and also the Beneventan(-land) of-Romans a-colony
ὑπάρχουσαν· εἷλον δὲ καὶ πόλιν Οὐενουσίαν, ἀτείχιστον
being they-took and also a-city Venusia unwalled
οὖσαν καὶ πολλῆς καὶ παντοδαπῆς ἀποσκευῆς γέμουσαν.
being and of-much and of-every-kind baggage full

90.9 οἱ δὲ Ῥωμαῖοι κατόπιν μὲν εἵποντο συνεχῶς, μιᾶς καὶ
the and Romans behind indeed followed continuously of-one and
δυεῖν ἡμερῶν ὁδὸν ἀπέχοντες, ἐγγίζειν γε μὴν καὶ
of-two days journey being-distant to-approach at-least indeed and
συμπλέκεσθαι τοῖς πολεμίοις οὐχ οἷοί τ' ἦσαν.
to-engage with-the enemies not able — they-were

90.10 διόπερ Ἀννίβας ὁρῶν τὸν Φάβιον φυγομαχοῦντα μὲν
therefore Hannibal seeing — Fabius avoiding-battle indeed
προδήλως τοῖς δ' ὅλοις οὐκ ἐκχωροῦντα τῶν ὑπαίθρων,
evidently in-the but whole not withdrawing-from the open-country

ὥρμησε τολμηρῶς εἰς τὰ περὶ Καπύην πεδία, καὶ τούτων
he-set-out boldly into the about Capua plains and of-these
εἰς τὸν προσαγορευόμενον Φάλερνον τόπον,
into the called Falernian place
πεπεισμένος δυεῖν θάτερον, ἢ μάχεσθαι τοὺς πολεμίους 90.11
persuaded of-two the-one either to-fight the enemies
ἀναγκάσειν ἢ πᾶσι δῆλον ποιήσειν ὅτι κρατεῖ τῶν
to-be-going-to-compel or to-all clear to-be-going-to-make that he-is-master of-the
ὅλων καὶ παραχωροῦσι Ῥωμαῖοι τῶν ὑπαίθρων αὐτοῖς.
whole and yield Romans the open-country to-them
οὗ γενομένου καταπλαγείσας ἤλπιζε τὰς πόλεις 90.12
which having-happened terrified he-hoped the cities
ὁρμήσειν πρὸς τὴν ἀπὸ Ῥωμαίων ἀπόστασιν.
to-be-going-to-rush toward the from Romans revolt
ἕως γὰρ τότε δυσὶ μάχαις ἤδη λελειμμένων αὐτῶν οὐδεμία 90.13
until for then in-two battles already having-been-beaten they not-one
πόλις ἀπέστη τῶν κατὰ τὴν Ἰταλίαν πρὸς Καρχηδονίους,
city revolted of-those in — Italy to Carthaginians
ἀλλὰ διετήρουν τὴν πίστιν, καίπερ ἔνιαι πάσχουσαι κακῶς.
but they-kept the faith though some suffering badly
ἐξ ὧν καὶ παρασημήναιτ' ἄν τις τὴν κατάπληξιν 90.14
from which also would-note — one the awe
καὶ καταξίωσιν παρὰ τοῖς συμμάχοις τοῦ Ῥωμαίων
and esteem among the allies of-the of-Romans
πολιτεύματος.
state
οὐ μὴν ἀλλ' ὅ γ' Ἀννίβας εἰκότως ἐπὶ τούτους 91.1
not however but — at-least Hannibal reasonably to these
κατήντα τοὺς λογισμούς.
came the reasonings

91.2 τὰ γὰρ πεδία τὰ κατὰ Καπύην ἐπιφανέστατα μέν ἐστι
the for plains the about Capua most-illustrious indeed are
τῶν κατὰ τὴν Ἰταλίαν καὶ διὰ τὴν ἀρετὴν καὶ διὰ τὸ
of-the in — Italy both because-of the goodness and because-of the
κάλλος καὶ διὰ τὸ πρὸς αὐτῇ κεῖσθαι τῇ θαλάττῃ καὶ
beauty and because-of the at the-very to-lie — sea and
τούτοις χρῆσθαι τοῖς ἐμπορίοις, εἰς ἃ σχεδὸν ἐκ πάσης
these to-use the trading-ports into which almost from all
τῆς οἰκουμένης κατατρέχουσιν οἱ πλέοντες εἰς Ἰταλίαν.
the inhabited-world put-in those sailing to Italy

91.3 περιέχουσι δὲ καὶ τὰς ἐπιφανεστάτας καὶ καλλίστας
they-contain and also the most-illustrious and finest
πόλεις τῆς Ἰταλίας ἐν αὑτοῖς.
cities — of-Italy in themselves

91.4 τὴν μὲν γὰρ παραλίαν αὐτῶν Σενοεσανοὶ καὶ Κυμαῖοι
the indeed for coast their Sinuessans and Cumaeans
καὶ Δικαιαρχῖται νέμονται, πρὸς δὲ τούτοις Νεαπολῖται,
and Dicaearchites occupy besides and these Neapolitans
τελευταῖον δὲ τὸ τῶν Νουκερίνων ἔθνος.
last and the of-the Nucerini nation

91.5 τῆς δὲ μεσογαίου τὰ μὲν πρὸς τὰς ἄρκτους Καληνοὶ
of-the and interior the indeed toward the north Calenians
καὶ Τιανῖται κατοικοῦσι, τὰ δὲ πρὸς ἕω καὶ μεσημβρίαν
and Teanites inhabit the and toward east and south
Δαύνιοι καὶ Νωλανοί.
Daunians and Nolans

91.6 κατὰ μέσα δὲ τὰ πεδία κεῖσθαι συμβαίνει τὴν πασῶν
in middle and the plains to-lie it-happens the of-all
ποτε μακαριωτάτην γεγονυῖαν πόλιν Καπύην.
once most-blessed having-been city Capua

ἐπιεικέστατος δὲ καὶ παρὰ τοῖς μυθογράφοις ὁ περὶ 91.7
most-reasonable and also among the mythographers the about
τούτων τῶν πεδίων λέγεται λόγος· προσαγορεύεται δὲ
these the plains is-told story are-called and
καὶ ταῦτα Φλεγραῖα, καθάπερ καὶ ἕτερα τῶν ἐπιφανῶν
also these Phlegraean as also other of-the illustrious
πεδίων· θεούς γε μὴν μάλιστα περὶ τούτων εἰκὸς
plains gods at-least indeed most about these likely
ἠρικέναι διὰ τὸ κάλλος καὶ τὴν ἀρετὴν αὐτῶν.
to-have-contended because-of the beauty and the goodness their
ἅμα δὲ τοῖς προειρημένοις ὀχυρὰ δοκεῖ καὶ 91.8
at-the-same-time and with-the aforementioned strong seem and
δυσέμβολα τελέως εἶναι τὰ πεδία· τὰ μὲν γὰρ θαλάττῃ
hard-to-enter wholly to-be the plains partly indeed for by-sea
τὸ δὲ πλεῖον ὄρεσι μεγάλοις πάντῃ καὶ συνεχέσι
the and most by-mountains great everywhere and continuous
περιέχεται, δι' ὧν εἰσβολαὶ τρεῖς ὑπάρχουσι μόνον ἐκ
are-surrounded through which entries three exist only from
τῆς μεσογαίου στεναὶ καὶ δύσβατοι,
the interior narrow and hard-to-pass
μία μὲν ἀπὸ τῆς Σαυνίτιδος, δευτέρα δ' ἀπὸ τῆς 91.9
one indeed from the Samnite-land second and from the
Λατίνης, ἡ δὲ κατάλοιπος ἀπὸ τῶν κατὰ τοὺς Ἱρπίνους
Latin the and remaining from the about the Hirpini
τόπων.
places
διόπερ ἔμελλον εἰς ταῦτα καταστρατοπεδεύσαντες ὥσπερ 91.10
therefore they-were-about in these having-encamped as
εἰς θέατρον οἱ Καρχηδόνιοι καταπλήξεσθαι μὲν τῷ
in a-theater the Carthaginians to-be-going-to-terrify indeed by-the
παραλόγῳ πάντας, ἐκθεατριεῖν δὲ τοὺς πολεμίους
unexpectedness all to-be-going-to-make-a-spectacle-of and the enemies

φυγομαχοῦντας, αὐτοὶ δ' ἐξ ὁμολόγου φανήσεσθαι τῶν
avoiding-battle themselves and by agreement to-be-going-to-appear of-the
ὑπαίθρων κρατοῦντες.
open-country masters

92.1 Ἀννίβας μὲν οὖν τοιούτοις χρησάμενος λογισμοῖς καὶ
Hannibal indeed therefore such having-used reasonings and
διελθὼν ἐκ τῆς Σαυνίτιδος τὰ στενὰ κατὰ τὸν
having-passed-through from the Samnite-land the narrows at the
Ἐριβιανὸν καλούμενον λόφον κατεστρατοπέδευσε παρὰ τὸν
Eribian called hill encamped by the
Ἄθυρνον ποταμόν, ὃς σχεδὸν δίχα διαιρεῖ τὰ προειρημένα
Athyrnus river which almost in-two divides the aforementioned
πεδία.
plains

92.2 καὶ τὴν μὲν παρεμβολὴν ἐκ τοῦ πρὸς Ῥώμην μέρους
and the indeed camp on the toward Rome side
εἶχε, ταῖς δὲ προνομαῖς πᾶν ἐπιτρέχων ἐπόρθει τὸ πεδίον
he-had with-the and foraging-parties all overrunning he-ravaged the plain
ἀδεῶς.
without-fear

92.3 Φάβιος δὲ κατεπέπληκτο μὲν τὴν ἐπιβολὴν καὶ τόλμαν
Fabius and was-amazed indeed at-the undertaking and daring
τῶν ὑπεναντίων, τοσούτῳ δὲ μᾶλλον ἐπὶ τῶν κεκριμένων
of-the opponents by-so-much and more to the decisions
ἔμενεν.
he-held

92.4 ὁ δὲ συνάρχων αὐτοῦ Μάρκος καὶ πάντες οἱ κατὰ
the and colleague his Marcus and all the in
τὸ στρατόπεδον χιλίαρχοι καὶ ταξίαρχοι νομίζοντες ἐν
the army tribunes and taxiarchs thinking in
καλῷ τοὺς πολεμίους ἀπειληφέναι, σπεύδειν ᾤοντο
a-fine-position the enemies to-have-been-caught to-hasten thought

δεῖν καὶ συνάπτειν εἰς τὰ πεδία καὶ μὴ περιορᾶν
it-to-be-needful and to-come-down into the plains and not to-overlook
τὴν ἐπιφανεστάτην χώραν δηουμένην.
the most-illustrious land being-ravaged
Φάβιος δὲ μέχρι μὲν τοῦ συνάψαι τοῖς τόποις ἔσπευδε 92.5
Fabius and up-to indeed the to-reach the places hastened
καὶ συνυπεκρίνετο τοῖς προθύμως καὶ φιλοκινδύνως
and pretended-along with-those eagerly and danger-lovingly
διακειμένοις,
disposed
ἐγγίσας δὲ τῷ Φαλέρνῳ ταῖς μὲν παρωρείαις 92.6
having-approached and the Falernian on-the indeed foothills
ἐπιφαινόμενος ἀντιπαρῆγε τοῖς πολεμίοις, ὥστε μὴ
appearing he-marched-alongside the enemies so-as not
δοκεῖν τοῖς αὑτῶν συμμάχοις ἐκχωρεῖν τῶν ὑπαίθρων,
to-seem to-the their-own allies to-withdraw-from the open-country
εἰς δὲ τὸ πεδίον οὐ καθίει τὴν δύναμιν, εὐλαβούμενος 92.7
into and the plain not he-sent-down the force being-wary-of
τοὺς ὁλοσχερεῖς κινδύνους διά τε τὰς προειρημένας
the decisive dangers because-of both the aforementioned
αἰτίας καὶ διὰ τὸ προφανῶς ἱπποκρατεῖν παρὰ
causes and because-of the evidently to-be-superior-in-cavalry by
πολὺ τοὺς ὑπεναντίους.
much the opponents
Ἀννίβας δ' ἐπειδὴ καταπειράσας τῶν πολεμίων καὶ 92.8
Hannibal and when having-tested the enemies and
καταφθείρας πᾶν τὸ πεδίον ἤθροισε λείας ἄπλετον
having-ravaged all the plain he-had-gathered of-booty immense
πλῆθος,
amount

92.9 ἐγίνετο πρὸς ἀναζυγήν, βουλόμενος μὴ καταφθεῖραι τὴν
he-was-busy with departure wishing not to-destroy the
λείαν, ἀλλ᾽ εἰς τοιοῦτον ἀπερείσασθαι τόπον, ἐν ᾧ
booty but into such to-store a-place in which
δυνήσεται ποιήσασθαι καὶ τὴν παραχειμασίαν, ἵνα μὴ
he-will-be-able to-make also the wintering so-that not
μόνον κατὰ τὸ παρὸν εὐωχίαν ἀλλὰ συνεχῶς δαψίλειαν
only at the present feasting but continuously abundance
ἔχῃ τῶν ἐπιτηδείων τὸ στρατόπεδον.
may-have of-the provisions the army

92.10 Φάβιος δὲ καὶ κατανοῶν αὐτοῦ τὴν ἐπιβολήν, ὅτι
Fabius and also perceiving his the design that
προχειρίζεται ποιεῖσθαι τὴν ἐπάνοδον ᾗπερ ἐποιήσατο καὶ
he-is-preparing to-make the return by-which he-had-made also
τὴν εἴσοδον, καὶ θεωρῶν τοὺς τόπους στενοὺς ὄντας καὶ
the entry and seeing the places narrow being and
καθ᾽ ὑπερβολὴν εὐφυεῖς πρὸς ἐπίθεσιν,
to excess well-suited for attack

92.11 ἐπ᾽ αὐτῆς μὲν τῆς διεκβολῆς περὶ τετρακισχιλίους
on the-very indeed — outlet about four-thousand
ἐπέστησε, παρακαλέσας χρήσασθαι τῇ προθυμίᾳ σὺν καιρῷ
he-posted having-exhorted to-use the eagerness with occasion
μετὰ τῆς τῶν τόπων εὐφυΐας, αὐτὸς δὲ τὸ πολὺ μέρος
with the of-the places suitability he-himself and the great part
ἔχων τῆς δυνάμεως ἐπί τινα λόφον ὑπερδέξιον πρὸ τῶν
having of-the force on a hill commanding before the
στενῶν κατεστρατοπέδευσε.
narrows encamped

93.1 παραγενομένων δὲ τῶν Καρχηδονίων καὶ ποιησαμένων τὴν
having-arrived and the Carthaginians and having-made the
παρεμβολὴν ἐν τοῖς ἐπιπέδοις ὑπ᾽ αὐτὴν τὴν παρώρειαν,
camp in the plains under the-very — foothills

τὴν μὲν λείαν αὐτῶν ἤλπισεν ἀδηρίτως περισυρεῖν, ὡς
the indeed booty their he-hoped without-a-fight to-sweep-off as
δὲ τὸ πολὺ καὶ τοῖς ὅλοις πέρας ἐπιθήσειν διὰ τὴν
but the most also to-the whole end to-be-going-to-put because-of the
τῶν τόπων εὐκαιρίαν.
of-the places opportuneness
καὶ δὴ περὶ ταῦτα καὶ πρὸς τούτοις ἐγίνετο τοῖς 93.2
and indeed about these and toward these he-was the
διαβουλίοις, διανοούμενος πῇ καὶ πῶς χρήσεται τοῖς τόποις
deliberations considering where and how he-will-use the places
καὶ τίνες καὶ πόθεν πρῶτον ἐγχειρήσουσι τοῖς ὑπεναντίοις.
and who and from-where first will-attack the opponents
Ἀννίβας δέ, ταῦτα πρὸς τὴν ἐπιοῦσαν ἡμέραν 93.3
Hannibal but these-things for the coming day
παρασκευαζομένων τῶν πολεμίων, συλλογιζόμενος ἐκ τῶν
preparing the enemies reckoning from the
εἰκότων οὐκ ἔδωκε χρόνον οὐδ' ἀναστροφὴν ταῖς ἐπιβολαῖς
probabilities not gave time nor respite to-the plans
αὐτῶν,
their
ἀνακαλεσάμενος δὲ τὸν ἐπὶ τῶν λειτουργιῶν τεταγμένον 93.4
having-called and the over the services appointed
Ἀσδρούβαν παρήγγειλε λαμπάδας δεσμεύειν ἐκ τῆς ξηρᾶς
Hasdrubal he-ordered torches to-bind from the dry
καὶ παντοδαπῆς ὕλης κατὰ τάχος ὡς πλείστας καὶ
and of-every-kind wood with speed as many-as-possible and
τῶν ἐργατῶν βοῶν ἐκλέξαντ' ἐκ πάσης τῆς λείας τοὺς
of-the working oxen having-picked from all the booty the
εὐρωστοτάτους εἰς δισχιλίους ἀθροῖσαι πρὸ τῆς παρεμβολῆς.
strongest about two-thousand to-gather before the camp

93.5 γενομένου δὲ τούτου συναγαγὼν ὑπέδειξε τοῖς λειτουργοῖς
having-been-done and this having-gathered he-showed to-the servants
ὑπερβολήν τινα μεταξὺ κειμένην τῆς αὐτοῦ στρατοπεδείας
a-ridge a between lying of-the his-own camp
καὶ τῶν στενῶν, δι' ὧν ἔμελλε ποιεῖσθαι τὴν πορείαν,
and the narrows through which he-was-about to-make the march
πρὸς ἣν ἐκέλευε προσελαύνειν τοὺς βοῦς ἐνεργῶς καὶ
toward which he-bade to-drive the oxen vigorously and
μετὰ βίας, ὅταν δοθῇ τὸ παράγγελμα, μέχρι συνάψωσι
with force whenever be-given the order until they-reach
τοῖς ἄκροις.
the heights

93.6 μετὰ δὲ τοῦτο δειπνοποιησαμένοις ἀναπαύεσθαι καθ' ὥραν
after and this having-dined to-rest in time
παρήγγειλε πᾶσιν.
he-ordered all

93.7 ἅμα δὲ τῷ κλῖναι τὸ τρίτον μέρος τῆς νυκτὸς εὐθέως
as-soon-as and the to-decline the third part of-the night at-once
ἐξῆγε τοὺς λειτουργοὺς καὶ προσδεῖν ἐκέλευσε πρὸς τὰ
he-led-out the servants and to-tie he-bade to the
κέρατα τοῖς βουσὶ τὰς λαμπάδας.
horns of-the oxen the torches

93.8 ταχὺ δὲ τούτου γενομένου διὰ τὸ πλῆθος, ἀνάψαι
quickly and this having-been-done because-of the number to-light
παρήγγειλε πάσας καὶ τοὺς μὲν βοῦς ἐλαύνειν καὶ
he-ordered all and the indeed oxen to-drive and
προσβάλλειν πρὸς τὰς ἀκρωρείας ἐπέταξε,
to-make-for to the ridges he-commanded

93.9 τοὺς δὲ λογχοφόρους κατόπιν ἐπιστήσας τούτοις ἕως μέν
the and spear-men behind having-posted these until indeed
τινος συνεργεῖν παρεκελεύετο τοῖς ἐλαύνουσιν, ὅταν δὲ τὴν
a-point to-help he-ordered those driving when and the

πρώτην ἅπαξ ὁρμὴν λάβῃ τὰ ζῷα, παρατρέχοντας παρὰ
first once rush take the animals running-alongside by
τὰ πλάγια καὶ συγκρούοντας ἅμα τῶν ὑπερδεξίων
the flanks and colliding at-the-same-time of-the commanding
ἀντέχεσθαι τόπων καὶ προκαταλαμβάνειν τὰς ἀκρωρείας,
to-hold-to places and to-seize-beforehand the ridges
ἵνα παραβοηθῶσι καὶ συμπλέκωνται τοῖς πολεμίοις, ἐάν
so-that they-may-help and may-engage the enemies if
που συναντῶσι πρὸς τὰς ὑπερβολάς.
anywhere they-meet at the passes
κατὰ δὲ τὸν καιρὸν τοῦτον αὐτὸς ἀναλαβὼν πρῶτα μὲν 93.10
at and the time this he-himself having-taken-up first indeed
τὰ βαρέα τῶν ὅπλων, ἐπὶ δὲ τούτοις τοὺς ἱππεῖς, ἑξῆς
the heavy of-the arms after and these the cavalry next
δὲ τὴν λείαν, ἐπὶ δὲ πᾶσι τοὺς Ἴβηρας καὶ Κελτοὺς
and the booty after and all the Iberians and Celts
ἦκε πρὸς τὰ στενὰ καὶ τὰς διεκβολάς.
came to the narrows and the outlets
τῶν δὲ Ῥωμαίων οἱ μὲν ἐπὶ τοῖς στενοῖς φυλάττοντες 94.1
of-the and Romans those indeed at the narrows guarding
ἅμα τῷ συνιδεῖν τὰ φῶτα προσβάλλοντα πρὸς τὰς
as-soon-as the to-see the lights advancing toward the
ὑπερβολάς, νομίσαντες ταύτῃ ποιεῖσθαι τὴν ὁρμὴν τὸν
ridges having-thought by-this-way to-make the attack —
Ἀννίβαν, ἀπολιπόντες τὰς δυσχωρίας παρεβοήθουν τοῖς
Hannibal having-left the difficult-ground they-went-to-help-at the
ἄκροις.
heights

94.2 ἐγγίζοντες δὲ τοῖς βουσὶν ἠποροῦντο διὰ τὰ
approaching and the oxen they-were-perplexed because-of the
φῶτα, μεῖζόν τι τοῦ συμβαίνοντος καὶ δεινότερον
lights greater something than-the happening and more-terrible
ἀναπλάττοντες καὶ προσδοκῶντες.
imagining and expecting

94.3 ἐπιγενομένων δὲ τῶν λογχοφόρων, οὗτοι μὲν βραχέα πρὸς
having-come-on and the spear-men these indeed briefly with
ἀλλήλους ἀκροβολισάμενοι, τῶν βοῶν αὐτοῖς ἐμπιπτόντων
each-other having-skirmished the oxen on-them falling
ἔμειναν διαστάντες ἐπὶ τῶν ἄκρων ἀμφότεροι καὶ
they-remained having-separated on the heights both and
προσανεῖχον καραδοκοῦντες τὴν ἐπιφάνειαν τῆς ἡμέρας
held-out awaiting the appearance of-the day
διὰ τὸ μὴ δύνασθαι γνῶναι τὸ γινόμενον.
because-of the not to-be-able to-know the happening

94.4 Φάβιος δὲ τὰ μὲν ἀπορούμενος ἐπὶ τῷ συμβαίνοντι
Fabius and partly indeed perplexed at the happening
καὶ κατὰ τὸν ποιητὴν ὀισσάμενος δόλον εἶναι, τὰ
and according-to the poet having-suspected a-trick to-be partly
δὲ κατὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν οὐδαμῶς κρίνων
and according-to the from the-beginning plan in-no-way deciding
ἐκκυβεύειν οὐδὲ παραβάλλεσθαι τοῖς ὅλοις, ἦγε τὴν
to-gamble nor to-hazard the whole he-kept the
ἡσυχίαν ἐπὶ τῷ χάρακι καὶ προσεδέχετο τὴν ἡμέραν.
quiet at the stockade and awaited the day

94.5 κατὰ δὲ τὸν καιρὸν τοῦτον Ἀννίβας, προχωρούντων αὐτῷ
at and the time this Hannibal succeeding for-him
τῶν πραγμάτων κατὰ τὴν ἐπιβολήν, τήν τε δύναμιν
the affairs according-to the design the both force
διεκόμισε διὰ τῶν στενῶν μετ᾽ ἀσφαλείας καὶ τὴν
he-brought through the narrows with safety and the

λείαν, λελοιπότων τοὺς τόπους τῶν παραφυλαττόντων
booty having-left the places those guarding
τὰς δυσχωρίας.
the difficult-ground
ἅμα δὲ τῷ φωτὶ συνιδὼν τοὺς ἐν τοῖς ἄκροις 94.6
at-the-same-time and with-the light having-seen those on the heights
ἀντικαθημένους τοῖς λογχοφόροις ἐπαπέστειλέ τινας τῶν
sitting-opposite the spear-men he-sent-against some of-the
Ἰβήρων, οἳ καὶ συμμίξαντες κατέβαλον μὲν τῶν Ῥωμαίων
Iberians who also having-engaged struck-down indeed of-the Romans
εἰς χιλίους, ῥᾳδίως δὲ τοὺς παρὰ σφῶν εὐζώνους
about a-thousand easily and the from themselves light-armed
ἐκδεξάμενοι κατεβίβασαν.
having-received brought-down
Ἀννίβας μὲν οὖν τοιαύτην ἐκ τοῦ Φαλέρνου 94.7
Hannibal indeed therefore such from the Falernian
ποιησάμενος τὴν ἔξοδον, λοιπὸν ἤδη στρατοπεδεύων
having-made the exit for-the-rest already encamping
ἀσφαλῶς κατεσκέπτετο καὶ προυνοεῖτο περὶ τῆς χειμασίας
safely considered and took-forethought about the wintering
ποῦ καὶ πῶς ποιήσεται, μέγαν φόβον καὶ πολλὴν ἀπορίαν
where and how he-will-make(-it) great fear and much perplexity
παρεστακὼς ταῖς πόλεσι καὶ τοῖς κατὰ τὴν Ἰταλίαν
having-caused to-the cities and to-the in — Italy
ἀνθρώποις.
men
Φάβιος δὲ κακῶς μὲν ἤκουε παρὰ τοῖς πολλοῖς, ὡς 94.8
Fabius and badly indeed was-spoken-of among the many as
ἀνάνδρως ἐκ τοιούτων τόπων προέμενος τοὺς ὑπεναντίους,
unmanfully from such places having-let-go the opponents
οὐ μὴν ἀφίστατό γε τῆς προθέσεως.
not however he-desisted at-least from-the purpose

94.9 καὶ ἀναγκασθεὶς δὲ μετ᾽ ὀλίγας ἡμέρας ἐπί τινας
and having-been-compelled too after few days for some
ἀπελθεῖν θυσίας εἰς τὴν Ῥώμην παρέδωκεν τῷ συνάρχοντι
to-go-away sacrifices to — Rome he-handed-over to-the colleague
τὰ στρατόπεδα καὶ πολλὰ χωριζόμενος ἐνετείλατο μὴ
the legions and much on-departing enjoined not
τοσαύτην ποιεῖσθαι σπουδὴν ὑπὲρ τοῦ βλάψαι τοὺς
so-much to-make effort for the to-harm the
πολεμίους ἡλίκην ὑπὲρ τοῦ μηδὲν αὐτοὺς παθεῖν δεινόν.
enemies as for the nothing them to-suffer terrible
94.10 ὧν οὐδὲ μικρὸν ἐν νῷ τιθέμενος Μάρκος ἔτι
of-which not-even a-little in mind putting Marcus still
λέγοντος αὐτοῦ ταῦτα πρὸς τῷ παραβάλλεσθαι καὶ τῷ
speaking him these-things on the to-hazard and the
διακινδυνεύειν ὅλος καὶ πᾶς ἦν.
to-risk-battle whole and entire was

III.95–99 · SPAIN AND THE HOSTAGES

In Spain Hasdrubal came north by land and sea; Gnaeus Scipio attacked his fleet at the mouth of the Ebro and took twenty-five ships. Seventy Carthaginian ships sent to Sardinia and Pisa fled a Roman fleet, and the consul Servilius pursued to Sicily and Africa. Rome sent Publius Scipio to join his brother, and the two first crossed the Ebro and camped near Saguntum. The Iberian Abilyx, judging Rome was rising, talked the guileless Bostar into freeing the hostages held there, then handed them to the Scipios, who restored them to their cities and won over many Iberians.

95.1 τὰ μὲν οὖν κατὰ τὴν Ἰταλίαν τοιαύτην εἶχε τὴν
the indeed therefore in — Italy such had the
διάθεσιν.
condition

κατὰ δὲ τοὺς αὐτοὺς καιροὺς ταῖς προειρημέναις πράξεσιν 95.2
at and the same times with-the aforementioned actions
Ἀσδρούβας ὁ τεταγμένος ἐπὶ τῆς Ἰβηρίας στρατηγὸς
Hasdrubal the appointed over — Iberia general
κατηρτικὼς ἐν τῇ παραχειμασίᾳ τὰς ὑπὸ τἀδελφοῦ
having-refitted in the wintering the by his-brother
καταλειφθείσας τριάκοντα ναῦς καὶ δέκα προσπεπληρωκὼς
left thirty ships and ten having-manned-besides
ἄλλας, ἀρχομένης τῆς θερείας ἀνήχθη τετταράκοντα
others beginning the summer put-to-sea with-forty
ναυσὶ καταφράκτοις ἐκ Καινῆς πόλεως, προχειρισάμενος
ships decked from New city having-appointed
Ἀμίλκαν τοῦ στόλου ναύαρχον.
Hamilcar of-the fleet admiral
ἅμα δὲ καὶ τὴν πεζὴν ἐκ τῆς παραχειμασίας 95.3
at-the-same-time and also the infantry from the wintering
ἠθροικὼς δύναμιν ἀνέζευξε· καὶ ταῖς μὲν ναυσὶ παρὰ
having-gathered force he-set-out and with-the indeed ships along
τὴν χέρσον ἐποιεῖτο τὸν πλοῦν, τοῖς δὲ πεζοῖς τὴν
the land made the voyage with-the and infantry the
πορείαν παρὰ τὸν αἰγιαλόν, σπεύδων ἀμφοτέραις ἅμα
march along the shore hastening with-both together
ταῖς δυνάμεσι καταζεῦξαι πρὸς τὸν Ἴβηρα ποταμόν.
the forces to-halt at the Iber river
Γνάιος δὲ τὰς ἐπιβολὰς συλλογιζόμενος τῶν Καρχηδονίων 95.4
Gnaeus and the designs reckoning of-the Carthaginians
τὸ μὲν πρῶτον ἐπεβάλετο κατὰ γῆν καὶ κατὰ θάλατταν
the indeed first undertook by land and by sea
ἐκ τῆς παραχειμασίας ποιεῖσθαι τὴν ἀπάντησιν.
from the wintering to-make the meeting

95.5 ἀκούων δὲ τὸ πλῆθος τῶν δυνάμεων καὶ τὸ μέγεθος
hearing and the number of-the forces and the greatness
τῆς παρασκευῆς τὸ μὲν κατὰ γῆν ἀπαντᾶν ἀπεδοκίμασε,
of-the preparation the indeed by land to-meet he-rejected
συμπληρώσας δὲ πέντε καὶ τριάκοντα ναῦς καὶ λαβὼν
having-manned and five and thirty ships and having-taken
ἐκ τοῦ πεζικοῦ στρατεύματος τοὺς ἐπιτηδειοτάτους ἄνδρας
from the infantry army the fittest men
πρὸς τὴν ἐπιβατικὴν χρείαν ἀνήχθη καὶ κατῆρε δευτεραῖος
for the marine service he-put-to-sea and arrived on-the-second-day
ἐκ Ταρράκωνος εἰς τοὺς περὶ τὸν Ἴβηρα ποταμὸν τόπους.
from Tarraco at the about the Iber river places
95.6 καθορμισθεὶς δὲ τῶν πολεμίων ἐν ἀποστήματι περὶ
having-anchored and from-the enemies at a-distance about
τοὺς ὀγδοήκοντα σταδίους προαπέστειλε κατασκεψομένας
the eighty stades he-sent-ahead to-be-going-to-reconnoiter
δύο ναῦς ταχυπλοούσας Μασσαλιητικάς· καὶ γὰρ
two ships fast-sailing Massaliot for also
προκαθηγοῦντο καὶ προεκινδύνευον οὗτοι καὶ πᾶσαν
led-the-way and ran-the-first-risks these and every
ἀποτόμως σφίσι παρείχοντο τὴν χρείαν.
unsparingly to-them provided the service
95.7 εὐγενῶς γάρ, εἰ καί τινες ἕτεροι, κεκοινωνήκασι Ῥωμαίοις
nobly for if even any others have-shared with-Romans
πραγμάτων καὶ Μασσαλιῶται, πολλάκις μὲν καὶ μετὰ
affairs also Massaliots many-times indeed also after
ταῦτα, μάλιστα δὲ κατὰ τὸν Ἀννιβιακὸν πόλεμον.
these-things most and in the Hannibalic war
95.8 διασαφούντων δὲ τῶν ἐπὶ τὴν κατασκοπὴν ἐκπεμφθέντων
making-clear and those for the reconnaissance sent-out
ὅτι περὶ τὸ στόμα τοῦ ποταμοῦ συμβαίνει τὸν τῶν
that about the mouth of-the river it-happens the of-the

ὑπεναντίων ὁρμεῖν στόλον, ἀνήγετο κατὰ σπουδήν,
opponents to-lie-at-anchor fleet he-put-to-sea in haste
βουλόμενος ἄφνω προσπεσεῖν τοῖς πολεμίοις.
wishing suddenly to-fall-upon the enemies
οἱ δὲ περὶ τὸν Ἀσδρούβαν, σημηνάντων αὐτοῖς τῶν σκοπῶν 96.1
those and about — Hasdrubal having-signaled to-them the scouts
ἐκ πολλοῦ τὸν ἐπίπλουν τῶν ὑπεναντίων, ἅμα
from far-off the approach of-the opponents at-the-same-time
τὰς πεζικὰς ἐξέταττον δυνάμεις παρὰ τὸν αἰγιαλὸν καὶ
the infantry drew-up forces along the shore and
τοῖς πληρώμασι παρήγγελλον ἐμβαίνειν εἰς τὰς ναῦς.
the crews ordered to-embark into the ships
ἤδη δὲ καὶ τῶν Ῥωμαίων σύνεγγυς ὄντων, σημήναντες 96.2
already and also the Romans near being having-sounded
πολεμικὸν ἀνήγοντο, κρίναντες ναυμαχεῖν. συμβαλόντες δὲ
war(-signal) they-put-to-sea having-decided to-fight-at-sea having-engaged and
τοῖς πολεμίοις βραχὺν μέν τινα χρόνον ἀντεποιήσαντο
with-the enemies short indeed some time they-contended-for
τῆς νίκης, μετ᾽ οὐ πολὺ δὲ πρὸς τὸ κλίνειν ὥρμησαν.
the victory after not much but to the to-give-way they-turned
ἡ γὰρ ἐφεδρεία τῶν πεζῶν ἡ περὶ τὸν αἰγιαλὸν οὐχ οὕτως 96.3
the for reserve of-the infantry the along the shore not so
αὐτοὺς ὤνησε, θάρσος παριστάνουσα πρὸς τὸν κίνδυνον, ὡς
them helped courage inspiring for the danger as
ἔβλαψε τὴν ἐλπίδα τῆς σωτηρίας ἑτοίμην παρασκευάζουσα.
harmed the hope of-the safety ready making
πλὴν δύο μὲν αὐτάνδρους νῆας ἀποβαλόντες, τεττάρων 96.4
however two indeed with-their-crews ships having-lost of-four
δὲ τοὺς ταρσοὺς καὶ τοὺς ἐπιβάτας ἔφευγον ἐκκλίναντες
and the oars and the marines they-fled having-turned-aside
εἰς γῆν.
to land

96.5 ἐπικειμένων δὲ τῶν Ῥωμαίων αὐτοῖς ἐκθύμως, τὰς
pressing and the Romans on-them ardently the
μὲν ναῦς ἐξέβαλον εἰς τὸν αἰγιαλόν, αὐτοὶ δ'
indeed ships they-ran-aground on the shore they-themselves and
ἀποπηδήσαντες ἐκ τῶν πλοίων ἐσῴζοντο πρὸς τοὺς
having-leapt-off from the vessels got-safe to those
παρατεταγμένους.
drawn-up

96.6 οἱ δὲ Ῥωμαῖοι τολμηρῶς συνεγγίσαντες τῇ γῇ καὶ τὰ
the and Romans boldly having-approached the land and the
δυνάμενα κινεῖσθαι τῶν πλοίων ἀναδησάμενοι μετὰ χαρᾶς
able to-be-moved of-the vessels having-taken-in-tow with joy
ὑπερβαλλούσης ἀπέπλεον, νενικηκότες μὲν ἐξ ἐφόδου
exceeding sailed-off having-conquered indeed at the-first-onset
τοὺς ὑπεναντίους, κρατοῦντες δὲ τῆς θαλάττης, εἴκοσι
the opponents mastering and the sea twenty
δὲ καὶ πέντε ναῦς ἔχοντες τῶν πολεμίων.
and and five ships having of-the enemies

96.7 τὰ μὲν οὖν κατὰ τὴν Ἰβηρίαν ἀπὸ τούτων ἐπικυδεστέρας
the indeed therefore in — Iberia from these more-glorious
εἰλήφει τοῖς Ῥωμαίοις τὰς ἐλπίδας διὰ τὸ προειρημένον
had-taken for-the Romans the hopes because-of the aforementioned
κατόρθωμα.
success

96.8 οἱ δὲ Καρχηδόνιοι, προσπεσόντος αὐτοῖς τοῦ γεγονότος
the and Carthaginians having-reached them the having-happened
ἐλαττώματος, παραχρῆμα πληρώσαντες ἑβδομήκοντα νῆας
defeat at-once having-manned seventy ships
ἐξαπέστειλαν, κρίναντες ἀναγκαῖον εἶναι πρὸς πάσας τὰς
sent-out having-decided necessary to-be for all the
ἐπιβολὰς ἀντέχεσθαι τῆς θαλάττης.
undertakings to-hold-to the sea

αἳ τὸ μὲν πρῶτον εἰς Σαρδόν', ἐκεῖθεν δὲ πρὸς τοὺς περὶ 96.9
which the indeed first to Sardinia from-there and to the about
Πίσας τόπους τῆς Ἰταλίας προσέβαλον, πεπεισμένων τῶν
Pisae places — of-Italy put-in persuaded those
ἐπιπλεόντων συμμίξειν ἐνθάδε τοῖς περὶ τὸν Ἀννίβαν.
sailing to-be-going-to-join there those about — Hannibal
ταχὺ δὲ τῶν Ῥωμαίων ἀναχθέντων ἐπ' αὐτοὺς ἐξ 96.10
quickly and the Romans having-put-to-sea against them from
αὐτῆς τῆς Ῥώμης ἑκατὸν εἴκοσι σκάφεσι πεντηρικοῖς,
the-very — Rome with-a-hundred twenty vessels quinquereme
πυθόμενοι τὸν ἀνάπλουν οὗτοι μὲν αὖθις ἀπέπλευσαν εἰς
having-learned the voyage these indeed again sailed-off to
τὴν Σαρδόνα, μετὰ δὲ ταῦτα πάλιν εἰς Καρχηδόνα.
— Sardinia after and these-things again to Carthage
Γνάιος δὲ Σερουίλιος ἔχων τὸν προειρημένον στόλον ἕως 96.11
Gnaeus and Servilius having the aforementioned fleet until
μέν τινος ἐπηκολούθει τοῖς Καρχηδονίοις, συνάψειν
indeed a-point followed the Carthaginians to-be-going-to-overtake
πεπεισμένος, πολὺ δὲ καθυστερῶν ἀπέγνω.
persuaded much but falling-behind he-gave-up
καὶ τὸ μὲν πρῶτον τῆς Σικελίας Λιλυβαίῳ προσέσχε· 96.12
and the indeed first — of-Sicily at-Lilybaeum he-put-in
μετὰ δὲ ταῦτα καταπλεύσας τῆς Λιβύης ὡς ἐπὶ τὴν
after and these-things having-sailed-down — of-Libya as to the
τῶν Κερκινητῶν νῆσον καὶ λαβὼν παρ' αὐτῶν χρήματα
of-the Cercinetae island and having-taken from them money
τοῦ μὴ πορθῆσαι τὴν χώραν ἀπηλλάγη.
for-the not to-ravage the land he-departed

96.13 κατὰ δὲ τὸν ἀνάπλουν γενόμενος κύριος νήσου Κοσσύρου
on and the return-voyage having-become master of-island Cossyrus
καὶ φρουρὰν εἰς τὸ πολισμάτιον εἰσαγαγὼν αὖθις εἰς τὸ
and a-garrison into the little-town having-brought-in again at —
Λιλύβαιον κατῆρε.
Lilybaeum he-put-in

96.14 καὶ τὸ λοιπὸν οὗτος μὲν αὐτοῦ συνορμίσας τὸν στόλον
and the rest he indeed there having-anchored the fleet
μετ᾽ οὐ πολὺν χρόνον αὐτὸς ἀνεκομίσθη πρὸς τὰς πεζικὰς
after not long time himself was-brought-back to the infantry
δυνάμεις·
forces

97.1 οἱ δ᾽ ἐκ τῆς συγκλήτου πυθόμενοι τὸ γεγονὸς
those and from the senate having-learned the having-happened
προτέρημα διὰ τοῦ Γναίου περὶ τὴν ναυμαχίαν καὶ
success through — Gnaeus about the sea-battle and
νομίσαντες χρήσιμον εἶναι, μᾶλλον δ᾽ ἀναγκαῖον τὸ μὴ
having-thought useful to-be rather but necessary the not
προΐεσθαι τὰ κατὰ τὴν Ἰβηρίαν, ἀλλ᾽ ἐνίστασθαι τοῖς
to-let-go the-affairs in — Iberia but to-resist the
Καρχηδονίοις καὶ τὸν πόλεμον αὔξειν,
Carthaginians and the war to-increase

97.2 προχειρισάμενοι ναῦς εἴκοσι καὶ στρατηγὸν ἐπιστήσαντες
having-made-ready ships twenty and as-general having-placed-over
Πόπλιον Σκιπίωνα κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν,
Publius Scipio according-to the from the-beginning purpose
ἐξαπέστελλον μετὰ σπουδῆς πρὸς τὸν ἀδελφὸν Γνάιον,
sent-off with haste to the brother Gnaeus
κοινῇ πράξοντα μετ᾽ ἐκείνου τὰ κατὰ τὴν Ἰβηρίαν.
in-common to-be-going-to-manage with him the-affairs in — Iberia

πάνυ γὰρ ἠγωνίων μὴ κρατήσαντες Καρχηδόνιοι τῶν 97.3
very for they-were-anxious lest having-mastered Carthaginians the
τόπων ἐκείνων καὶ περιποιησάμενοι χορηγίας ἀφθόνους καὶ
places those and having-secured supplies abundant and
χεῖρας ἀντιποιήσωνται μὲν τῆς θαλάττης ὁλοσχερέστερον,
hands they-might-lay-claim indeed to-the sea more-fully
συνεπιθῶνται δὲ τοῖς κατὰ τὴν Ἰταλίαν, στρατόπεδα
they-might-join-attack and on-those in — Italy armies
πέμποντες καὶ χρήματα τοῖς περὶ τὸν Ἀννίβαν.
sending and money to-those about — Hannibal
διόπερ ἐν μεγάλῳ τιθέμενοι καὶ τοῦτον τὸν πόλεμον 97.4
therefore as great placing also this the war
ἐξαπέστειλαν τάς τε ναῦς καὶ τὸν Πόπλιον. ὃς καὶ
they-sent-out the both ships and — Publius who also
παραγενόμενος εἰς Ἰβηρίαν καὶ συμμίξας τἀδελφῷ μεγάλην
having-arrived into Iberia and having-joined his-brother great
παρεῖχε χρείαν τοῖς κοινοῖς πράγμασιν.
provided use to-the common affairs
οὐδέποτε γὰρ πρότερον θαρρήσαντες διαβῆναι τὸν Ἴβηρα 97.5
never for before having-dared to-cross the Iber
ποταμόν, ἀλλ᾽ ἀσμενίζοντες τῇ τῶν ἐπὶ τάδε φιλίᾳ
river but being-content with-the of-those on this-side friendship
καὶ συμμαχίᾳ τότε διέβησαν καὶ τότε πρῶτον ἐθάρρησαν
and alliance then they-crossed and then first dared
ἀντιποιεῖσθαι τῶν πέραν πραγμάτων, μεγάλα καὶ
to-lay-claim-to the beyond affairs greatly also
ταὐτομάτου συνεργήσαντος σφίσι πρὸς τοὺς περιεστῶτας
chance having-helped them for the surrounding
καιρούς.
times

97.6 ἐπειδὴ γὰρ καταπληξάμενοι τοὺς περὶ τὴν διάβασιν
when for having-terrified those about the crossing
οἰκοῦντας τῶν Ἰβήρων ἦκον πρὸς τὴν τῶν Ζακανθαίων
dwelling of-the Iberians they-came to the of-the Saguntines
πόλιν, ἀποσχόντες σταδίους ὡς τετταράκοντα περὶ τὸ
city being-distant stades about forty about the
τῆς Ἀφροδίτης ἱερὸν κατεστρατοπέδευσαν,
— of-Aphrodite temple they-encamped
97.7 λαβόντες τόπον εὐφυῶς κείμενον πρός τε τὴν ἀπὸ τῶν
having-taken a-place well-suitedly lying for both the from the
πολεμίων ἀσφάλειαν καὶ πρὸς τὴν ἐκ θαλάττης χορηγίαν·
enemies safety and for the from sea supply
97.8 ὁμοῦ γὰρ αὐτοῖς συνέβαινε καὶ τὸν στόλον ποιεῖσθαι τὸν
together for for-them it-happened also the fleet to-make the
παράπλουν. ἔνθα δὴ γίνεταί τις πραγμάτων περιπέτεια
voyage-along there indeed there-arises a of-affairs reversal
τοιάδε.
such
98.1 καθ' οὓς καιροὺς Ἀννίβας ἐποιεῖτο τὴν πορείαν εἰς
at which times Hannibal made the march into
Ἰταλίαν, ὅσαις πόλεσιν ἠπίστησε τῶν κατὰ τὴν
Italy as-many-as cities he-distrusted of-those in —
Ἰβηρίαν, ἔλαβε παρὰ τούτων ὅμηρα τοὺς υἱεῖς τῶν
Iberia he-took from these hostages the sons of-the
ἐπιφανεστάτων ἀνδρῶν· οὓς πάντας εἰς τὴν Ζακανθαίων
most-illustrious men whom all in the of-Saguntines
ἀπέθετο πόλιν διά τε τὴν ὀχυρότητα καὶ διὰ τὴν
he-deposited city because-of both the strength and because-of the
τῶν ἀπολειπομένων ἐπ' αὐτῆς ἀνδρῶν πίστιν.
of-the left in it men loyalty

ἦν δέ τις ἀνὴρ Ἴβηρ, Ἀβίλυξ ὄνομα, κατὰ μὲν τὴν 98.2
there-was and a man Iberian Abilyx by-name in indeed the
δόξαν καὶ τὴν τοῦ βίου περίστασιν οὐδενὸς δεύτερος
reputation and the of-the life circumstance to-no-one second
Ἰβήρων, κατὰ δὲ τὴν πρὸς Καρχηδονίους εὔνοιαν καὶ
of-Iberians in and the toward Carthaginians goodwill and
πίστιν πολύ τι διαφέρειν δοκῶν τῶν ἄλλων.
loyalty much a to-excel seeming the others
οὗτος θεωρῶν τὰ πράγματα καὶ νομίσας ἐπικυδεστέρας 98.3
he seeing the affairs and having-thought more-glorious
εἶναι τὰς τῶν Ῥωμαίων ἐλπίδας, συνελογίσατο παρ᾽
to-be the of-the Romans hopes reasoned with
ἑαυτῷ περὶ τῆς τῶν ὁμήρων προδοσίας συλλογισμὸν
himself about the of-the hostages betrayal a-reasoning
Ἰβηρικὸν καὶ βαρβαρικόν.
Iberian and barbarian
πεισθεὶς γὰρ διότι δύναται μέγας γενέσθαι παρὰ Ῥωμαίοις 98.4
persuaded for that he-can great to-become among Romans
προσενεγκάμενος ἐν καιρῷ πίστιν ἅμα καὶ χρείαν,
having-offered in time good-faith at-the-same-time and service
ἐγίνετο πρὸς τῷ παρασπονδήσας τοὺς Καρχηδονίους
he-was at the having-broken-faith-with the Carthaginians
ἐγχειρίσαι τοὺς ὁμήρους τοῖς Ῥωμαίοις.
to-hand-over the hostages to-the Romans
θεωρῶν δὲ τὸν Βώστορα τὸν τῶν Καρχηδονίων στρατηγόν, 98.5
seeing and — Bostar the of-the Carthaginians general
ὃς ἀπεστάλη μὲν ὑπ᾽ Ἀσδρούβου κωλύσων τοὺς
who was-sent indeed by Hasdrubal to-be-going-to-prevent the
Ῥωμαίους διαβαίνειν τὸν ποταμόν, οὐ θαρρήσας δὲ τοῦτο
Romans to-cross the river not having-dared but this
ποιεῖν ἀνακεχωρηκὼς ἐστρατοπέδευε τῆς Ζακάνθης ἐν
to-do having-withdrawn was-encamped — of-Saguntum in

τοῖς πρὸς θάλατταν μέρεσιν, τοῦτον μὲν ἄκακον ὄντα
the toward sea parts this-one indeed guileless being
τὸν ἄνδρα καὶ πρᾷον τῇ φύσει,
the man and mild in-the nature
98.6 πιστῶς δὲ τὰ πρὸς αὐτὸν διακείμενον, ποιεῖται λόγους
trustingly and the-things toward him disposed he-makes talks
ὑπὲρ τῶν ὁμήρων πρὸς τὸν Βώστορα φάσκων, ἐπειδὴ
about the hostages with — Bostar saying since
διαβεβήκασι Ῥωμαῖοι τὸν ποταμόν, οὐκέτι δύνασθαι
have-crossed Romans the river no-longer to-be-able
Καρχηδονίους φόβῳ συνέχειν τὰ κατὰ τὴν Ἰβηρίαν,
Carthaginians by-fear to-hold the-affairs in — Iberia
προσδεῖσθαι δὲ τοὺς καιροὺς τῆς τῶν ὑποταττομένων εὐνοίας·
to-need but the times the of-the subjects goodwill
98.7 νῦν οὖν ἠγγικότων Ῥωμαίων καὶ προσκαθεζομένων τῇ
now therefore having-approached Romans and sitting-down-before —
Ζακάνθῃ, καὶ κινδυνευούσης τῆς πόλεως, ἐὰν ἐξαγαγὼν
Saguntum and being-in-danger the city if having-led-out
τοὺς ὁμήρους ἀποκαταστήσῃ τοῖς γονεῦσι καὶ ταῖς
the hostages be-restore(-them) to-the parents and to-the
πόλεσιν, ἐκλύσειν μὲν αὐτὸν τῶν Ῥωμαίων τὴν
cities to-be-going-to-frustrate indeed he of-the Romans the
φιλοτιμίαν· τοῦτο γὰρ αὐτὸ καὶ μάλιστα σπουδάζειν
ambition this for very-thing also most to-be-eager
ἐκείνους πρᾶξαι, κυριεύοντας τῶν ὁμήρων·
they to-do mastering the hostages
98.8 ἐκκαλέσεσθαι δὲ τὴν τῶν Ἰβήρων πάντων πρὸς
to-be-going-to-call-forth and the of-the Iberians all toward
Καρχηδονίους εὔνοιαν, προϊδόμενον τὸ μέλλον καὶ
Carthaginians goodwill having-foreseen the future and
προνοηθέντα τῆς τῶν ὁμήρων ἀσφαλείας. τὴν δὲ
having-provided for-the of-the hostages safety the and

χάριν αὐξήσειν ἔφη πολλαπλασίαν, αὐτὸς γενόμενος
favor to-be-going-to-increase he-said many-fold himself having-become
χειριστὴς τοῦ πράγματος.
manager of-the affair
ἀποκαθιστάνων γὰρ εἰς τὰς πόλεις τοὺς παῖδας οὐ μόνον 98.9
restoring for to the cities the children not only
τὴν παρ᾽ αὐτῶν εὔνοιαν ἐπισπάσεσθαι τῶν γεννησάντων
the from them goodwill to-be-going-to-draw of-the parents
ἀλλὰ καὶ παρὰ τῶν πολλῶν, ὑπὸ τὴν ὄψιν τιθεὶς διὰ
but also from the many under the eye placing through
τοῦ συμβαίνοντος τὴν Καρχηδονίων πρὸς τοὺς συμμάχους
the happening the of-Carthaginians toward the allies
αἵρεσιν καὶ μεγαλοψυχίαν.
policy and magnanimity
προσδοκᾶν δ᾽ αὐτὸν ἐκέλευσε καὶ δώρων πλῆθος 98.10
to-expect and him he-bade also of-gifts abundance
ἰδίᾳ παρὰ τῶν τὰ τέκνα κομιζομένων· παραδόξως
privately from those the children recovering unexpectedly
γὰρ ἑκάστους ἐγκρατεῖς γινομένους τῶν ἀναγκαιοτάτων
for each masters becoming of-the dearest
ἅμιλλαν ποιήσεσθαι τῆς εἰς τὸν κύριον τῶν πραγμάτων
rivalry to-be-going-to-make of-the toward the master of-the affairs
εὐεργεσίας.
kindness
παραπλήσια δὲ τούτοις ἕτερα καὶ πλείω πρὸς τὸν αὐτὸν 98.11
like and to-these other and more in the same
τρόπον διαλεχθεὶς ἔπεισε τὸν Βώστορα συγκαταθέσθαι
way having-discussed he-persuaded — Bostar to-agree
τοῖς λεγομένοις.
to-the-things being-said

99.1 καὶ τότε μὲν ἐπανῆλθε, ταξάμενος ἡμέραν, ᾗ
and then indeed he-went-back having-appointed a-day on-which
παρέσται μετὰ τῶν ἐπιτηδείων πρὸς τὴν ἀνακομιδὴν
he-will-be-present with the fit-men for the bringing-back
τῶν παίδων.
of-the children

99.2 παραγενηθεὶς δὲ νυκτὸς ἐπὶ τὸ τῶν Ῥωμαίων στρατόπεδον
having-arrived and by-night at the of-the Romans camp
καὶ συμμίξας τισὶ τῶν συστρατευομένων ἐκείνοις Ἰβήρων
μέν, ὦ Φάβιε, τὰ ἐμαυτοῦ σκοποῦντι κρεῖττόν ἐστι τοῖς
indeed O Fabius the my-own considering better it-is to-the
τῶν πολεμίων ὑποπεσεῖν δόρασιν ἢ πάλιν ταῖς ψήφοις
of-the enemies to-fall-under spears than again to-the votes
τῶν πολιτῶν· εἰ δ' οὕτως ἔχει τὰ δημόσια πράγματα,
of-the citizens if and so are the public affairs
πειράσομαι μᾶλλον σοὶ δοκεῖν ἀγαθὸς εἶναι στρατηγὸς
I-will-try rather to-you to-seem good to-be a-general

ἢ πᾶσι τοῖς ἄλλοις ἐπὶ τἀναντία βιαζομένοις." ταύτην
than to-all the others to the-opposite forcing this
ἔχων τὴν προαίρεσιν ὁ Παῦλος ἐξῆλθεν ἐπὶ τὸν πόλεμον.
having the purpose — Paulus went-out to the war
Ἀλλ' ὁ Τερέντιος ἐμβαλὼν αὑτὸν εἰς τὸ παρ' ἡμέραν
but — Terentius having-thrown himself into the on-alternate day
ἄρχειν, καὶ τῷ Ἀννίβᾳ παραστρατοπεδεύσας περὶ τὸν
to-command and — to-Hannibal having-encamped-beside about the
Αὐφίδιον ποταμὸν καὶ τὰς λεγομένας Κάννας, ἅμ'
Aufidus river and the called Cannae together-with
ἡμέρᾳ τὸ τῆς μάχης σημεῖον ἐξέθηκεν (ἔστι δὲ χιτὼν
day the of-the battle signal put-out is and a-tunic
κόκκινος ὑπὲρ τῆς στρατηγικῆς σκηνῆς διατεινόμενος), ὥστε
scarlet over the general's tent stretched so-that
καὶ τοὺς Καρχηδονίους ἐξ ἀρχῆς διαταραχθῆναι, τήν τε
also the Carthaginians from the-beginning to-be-dismayed the both
τόλμαν τοῦ στρατηγοῦ καὶ τὸ τοῦ στρατοπέδου πλῆθος
daring of-the general and the of-the army number
ὁρῶντας, αὐτοὺς οὐδ' ἥμισυ μέρος ὄντας. Ἀννίβας δὲ τὴν
seeing themselves not-even half part being Hannibal but the
δύναμιν ἐξοπλίζεσθαι κελεύσας, αὐτὸς ἱππότης μετ' ὀλίγων
force to-arm having-ordered himself on-horseback with few
ὑπὲρ λόφου τινὸς μαλακοῦ κατεσκόπει τοὺς πολεμίους ἤδη
upon hill some gentle viewed the enemies already
καθισταμένους εἰς τάξιν. εἰπόντος δέ τινος τῶν περὶ αὐτὸν
being-drawn-up into order having-said and someone of-those about him
ἀνδρὸς ἰσοτίμου, τοὔνομα Γίσκωνος, ὡς θαυμαστὸν αὐτῷ
of-a-man equal-in-rank by-name Gisco that wonderful to-him
φαίνεται τὸ πλῆθος τῶν πολεμίων, συναγαγὼν τὸ πρόσωπον
appears the number of-the enemies having-contracted the face
ὁ Ἀννίβας, "Ἕτερον," εἶπεν, "ὦ Γίσκων, λέληθέ σε τούτου
— Hannibal another-thing he-said O Gisco has-escaped you than-this

θαυμασιώτερον.” ἐρομένου δὲ τοῦ Γίσκωνος, τὸ ποῖον;
more-wonderful having-asked and — Gisco the what
“ Ὅτι,” ἔφη, “τούτων ὄντων τοσούτων οὐδεὶς ἐν αὐτοῖς
that he-said these being so-many no-one among them
Γίσκων καλεῖται.” γενομένου δὲ παρὰ δόξαν αὐτοῖς τοῦ
Gisco is-called having-happened and against expectation for-them the
σκώμματος ἐμπίπτει γέλως πᾶσι, καὶ κατέβαινον ἀπὸ τοῦ
jest falls laughter on-all and they-came-down from the
λόφου τοῖς ἀπαντῶσιν ἀεὶ τὸ πεπαιγμένον ἀπαγγέλλοντες,
hill to-those meeting-them always the joke reporting
ὥστε διὰ πολλῶν πολὺν εἶναι τὸν γέλωτα καὶ μηδ’
so-that through many great to-be the laughter and not-even
ἀναλαβεῖν ἑαυτοὺς δύνασθαι τοὺς περὶ τὸν Ἀννίβαν. τοῦτο
to-recover themselves to-be-able those about — Hannibal this
τοῖς Καρχηδονίοις ἰδοῦσι θάρσος παρίστη, λογιζομένοις
to-the Carthaginians having-seen boldness brought reckoning
ἀπὸ πολλοῦ καὶ ἰσχυροῦ τοῦ καταφρονοῦντος ἐπιέναι γελᾶν
from much and strong the contempt to-come to-laugh
οὕτως καὶ παίζειν τῷ στρατηγῷ παρὰ τὸν κίνδυνον.
so and to-jest for-the general in-the-face-of the danger
Ἐν δὲ τῇ μάχῃ στρατηγήμασιν ἐχρήσατο, πρώτῳ μὲν 16
in and the battle stratagems he-used first indeed
τῷ ἀπὸ τοῦ τόπου, ποιησάμενος κατὰ νώτου τὸν ἄνεμον·
the from the place having-made at back the wind
πρηστῆρι γὰρ ἐοικὼς φλέγοντι κατερρήγνυτο, καὶ τραχὺν
to-a-hurricane for like blazing it-burst and rough
ἐκ πεδίων ὑφάμμων καὶ ἀναπεπταμένων αἴρων κονιορτὸν
from plains sandy and wide-open raising dust
ὑπὲρ τὴν φάλαγγα τῶν Καρχηδονίων ἐπὶ τοὺς Ῥωμαίους
over the phalanx of-the Carthaginians on the Romans
ἐώθει, καὶ προσέβαλλε τοῖς προσώποις ἀποστρεφομένοις
it-drove and flung-it at-the faces turning-away

καὶ συνταραττομένοις. δευτέρῳ δὲ τῷ περὶ τὴν τάξιν·
and confounded second and the about the order
ὃ γὰρ ἦν ἰσχυρότατον αὐτῷ καὶ μαχιμώτατον τῆς
what for was strongest of-his and most-warlike of-the
δυνάμεως ἑκατέρωσε τοῦ μέσου τάξας, τὸ μέσον
force on-each-side of-the center having-stationed the center
αὐτὸ συνεπλήρωσεν ἐκ τῶν ἀχρειοτάτων, ἐμβόλῳ τούτῳ
itself he-filled-up from the most-useless as-a-wedge this
προέχοντι πολὺ τῆς ἄλλης φάλαγγος χρησόμενος· εἴρητο
projecting far of-the other phalanx to-be-going-to-use it-had-been-told
δὲ τοῖς κρατίστοις, ὅταν τούτους διακόψαντες οἱ Ῥωμαῖοι
and to-the best when these having-cut-through the Romans
καὶ φερόμενοι πρὸς τὸ εἶκον ἐκφερομένου τοῦ μέσου
and rushing toward the yielding-part being-carried-out the center
καὶ κόλπον λαμβάνοντος ἐντὸς γένωνται τῆς φάλαγγος,
and a-hollow taking inside should-be of-the phalanx
ὀξέως ἑκατέρωθεν ἐπιστρέψαντας ἐμβαλεῖν τε πλαγίοις καὶ
sharply from-both-sides having-wheeled to-charge both on-the-flanks and
περιπτύσσειν ὄπισθεν συγκλείοντας. ὃ δὴ καὶ δοκεῖ τὸν
to-envelop from-behind shutting-in which indeed also seems the
πλεῖστον ἀπεργάσασθαι φόνον. ὡς γὰρ ἐνέδωκε τὸ μέσον
most to-have-wrought slaughter when for gave-way the center
καὶ τοὺς Ῥωμαίους ἐδέξαντο διώκοντας, ἡ δὲ φάλαγξ τοῦ
and the Romans they-received pursuing the and phalanx —
Ἀννίβου μεταβαλοῦσα τὸ σχῆμα μηνοειδὴς ἐγεγόνει καὶ
of-Hannibal having-changed the shape crescent-shaped had-become and
τῶν ἐπιλέκτων οἱ ταξίαρχοι ταχὺ τοὺς μὲν ἐπ' ἀσπίδα,
of-the picked-men the officers quickly the(-ones) indeed to shield
τοὺς δ' ἐπὶ δόρυ κλίναντες προσέπεσον κατὰ τὰ
the(-others) and to spear having-turned fell on the

γυμνά, πάντας, ὅσοι μὴ τὴν κύκλωσιν ὑπεκκλίναντες
exposed-parts all as-many-as not the encirclement having-slipped-out-of
ἔφθασαν, ἐν μέσῳ κατειργάσαντο καὶ διέφθειραν.
got-away in the-middle they-overpowered and destroyed
Λέγεται δὲ καὶ τοῖς ἱππεῦσι τῶν Ῥωμαίων σύμπτωμα
it-is-said and also to-the cavalry of-the Romans an-accident
παράλογον γενέσθαι. τὸν γὰρ Παῦλον, ὡς ἔοικε,
unexpected to-have-happened — for Paulus as it-seems
τρωθεὶς ὁ ἵππος ἀπεσείσατο, καὶ τῶν περὶ αὐτὸν
having-been-wounded the horse threw-off and of-those about him
ἄλλος καὶ ἄλλος ἀπολιπὼν τὸν ἵππον πεζὸς τῷ ὑπάτῳ
one and another having-left the horse on-foot to-the consul
προσήμυνε. τοῦτο δ' οἱ ἱππεῖς ἰδόντες, ὡς παραγγέλματος
came-to-help this and the cavalry having-seen as an-order
κοινοῦ δεδομένου, πάντες ἀποπηδήσαντες πεζοὶ συνεπλέκοντο
common given all having-leapt-down on-foot engaged
τοῖς πολεμίοις. ἰδὼν δ' ὁ Ἀννίβας, "Τοῦτ'," ἔφη, "μᾶλλον
the enemies having-seen and — Hannibal this he-said rather
ἠβουλόμην ἢ εἰ δεδεμένους παρέλαβον." ἀλλὰ ταῦτα
I-wished than if bound I-had-received-them but these-things
μὲν οἱ τὰς διεξοδικὰς γράψαντες ἱστορίας ἀπηγγέλκασι.
indeed those the detailed having-written histories have-reported
Τῶν δ' ὑπάτων ὁ μὲν Βάρρων ὀλιγοστὸς ἀφίππευσεν
of-the and consuls — indeed Varro with-very-few rode-off
εἰς Οὐενουσίαν πόλιν, ὁ δὲ Παῦλος ἐν τῷ βυθῷ καὶ
to Venusia city — and Paulus in the depth and
κλύδωνι τῆς φυγῆς ἐκείνης βελῶν τε πολλῶν ἐπὶ τοῖς
surge of-the flight that of-missiles both many in the
τραύμασιν ἐγκειμένων ἀνάπλεως, τὸ σῶμα καὶ τὴν ψυχὴν
wounds lodged full the body and the soul
πένθει τοσούτῳ βαρυνόμενος, πρός τινι λίθῳ καθῆστο, τὸν
with-grief so-great weighed-down against some stone sat the

ἐπισφάξοντα τῶν πολεμίων ἀναμένων. ἦν δὲ δι᾽ αἵματος
one-to-slay-him of-the enemies awaiting was and because-of blood
πλῆθος, ᾧ συνεπέφυρτο τὴν κεφαλὴν καὶ τὸ πρόσωπον,
the-quantity with-which he-was-fouled the head and the face
οὐ πολλοῖς διάδηλος, ἀλλὰ καὶ φίλοι καὶ θεράποντες αὐτὸν
not to-many recognizable but even friends and servants him
ὑπ᾽ ἀγνοίας παρῆλθον. μόνος δὲ Κορνήλιος Λέντλος,
through ignorance passed-by alone and Cornelius Lentulus
εὐπατρίδης νέος, ἰδὼν καὶ προνοήσας ἀπεπήδησε τοῦ
a-patrician young having-seen and having-recognized leapt-down from-the
ἵππου, καὶ προσαγαγὼν παρεκάλει χρῆσθαι καὶ σώζειν
horse and having-brought-it-up urged to-use-it and to-save
αὑτὸν τοῖς πολίταις ἄρχοντος ἀγαθοῦ τότε μάλιστα
himself for-the citizens of-a-commander good then most
χρῄζουσιν. ὁ δὲ ταύτην μὲν ἀπετρίψατο τὴν δέησιν, καὶ
needing he but this indeed rejected the entreaty and
τὸ μειράκιον αὖθις ἠνάγκασεν ἐπὶ τὸν ἵππον ἀναβῆναι
the youth again compelled onto the horse to-mount
δακρῦον, εἶτα δὲ τὴν δεξιὰν ἐμβαλὼν καὶ συνεξαναστάς,
weeping then and the right-hand having-given and having-risen-with-him
“Ἀπάγγελλε,” εἶπεν, “ὦ Λέντλε, Φαβίῳ Μαξίμῳ καὶ
report he-said O Lentulus to-Fabius Maximus and
γενοῦ μάρτυς αὐτός, ὅτι Παῦλος Αἰμίλιος ἐνέμεινεν αὐτοῦ
be witness yourself that Paulus Aemilius abided-by his
τοῖς λογισμοῖς ἄχρι τέλους καὶ τῶν ὁμολογηθέντων
the reasonings until the-end and of-the agreements
πρὸς ἐκεῖνον οὐδὲν ἔλυσεν, ἀλλ᾽ ἐνικήθη πρότερον ὑπὸ
with him nothing he-broke but was-defeated first by
Βάρρωνος, εἶθ᾽ ὑπὸ Ἀννίβου.” τοσαῦτ᾽ ἐπιστείλας τὸν μὲν
Varro then by Hannibal so-much having-charged — indeed
Λέντλον ἀπέπεμψεν, αὐτὸς δὲ ῥίψας ἑαυτὸν εἰς τοὺς
Lentulus he-sent-away himself and having-thrown himself among the

φονευομένους ἀπέθανε. λέγονται δὲ πεσεῖν μὲν ἐν τῇ
being-slaughtered died they-are-said and to-have-fallen indeed in the
μάχῃ Ῥωμαίων πεντακισμύριοι, ζῶντες δ' ἁλῶναι
battle of-Romans fifty-thousand alive and to-have-been-captured
τετρακισχίλιοι, καὶ μετὰ τὴν μάχην οἱ ληφθέντες ἐπ'
four-thousand and after the battle those taken in
ἀμφοτέροις τοῖς στρατοπέδοις μυρίων οὐκ ἐλάττους.
both the camps ten-thousand not fewer

17–20 · ROME HOLDS

Hannibal did not march on Rome, and Barca told him he knew how to win a victory but not how to use it; yet most of Italy and Capua joined him. Fabius's caution now seemed wisdom, and he alone calmed the city. The senate thanked Varro for not despairing of the state. Fabius the shield and Marcellus the sword wore Hannibal down; forged letters from Metapontum nearly trapped Fabius, but bad omens turned him back. He won a disaffected Marsian with honors and kept a Lucanian in the ranks by giving him the girl he loved.

Τὸν δ' Ἀννίβαν ἐπὶ τηλικούτῳ κατορθώματι τῶν φίλων 17
— and Hannibal after so-great a-success the friends
παρορμώντων ἅμ' ἕπεσθαι τῇ τύχῃ καὶ συνεπεισπεσεῖν
urging at-once to-follow the fortune and to-burst-in
ἅμα τῇ φυγῇ τῶν πολεμίων εἰς τὴν πόλιν, πεμπταῖον
together with-the flight of-the enemies into the city on-the-fifth-day
γὰρ ἀπὸ τῆς νίκης ἐν Καπιτωλίῳ δειπνήσειν, οὐ ῥᾴδιον
for from the victory on-the Capitol to-be-going-to-dine not easy
εἰπεῖν, ὅστις ἀπέτρεψε λογισμός, ἀλλὰ μᾶλλον δαίμονος
to-say what turned-him-back reasoning but rather of-a-divinity
ἢ θεοῦ τινος ἐμποδὼν στάντος ἔοικεν ἔργον ἡ πρὸς

τοῦτο μέλλησις αὐτοῦ καὶ δειλίασις γενέσθαι. διὸ καὶ
this delay his and timidity to-have-been therefore also
Βάρκαν τὸν Καρχηδόνιον εἰπεῖν μετ᾽ ὀργῆς πρὸς αὐτὸν
Barca the Carthaginian to-have-said with anger to him
λέγουσι· "Σὺ νικᾶν οἶδας, νίκῃ δὲ χρῆσθαι οὐκ οἶδας."
they-say you to-conquer know victory but to-use not you-know
καίτοι τοσαύτην μεταβολὴν ἡ νίκη περὶ αὐτὸν ἐποίησεν,
and-yet so-great a-change the victory about him made
ὡς πρὸ τῆς μάχης οὐ πόλιν, οὐκ ἐμπόριον, οὐ λιμένα τῆς
that before the battle not a-city not a-market not a-harbor —
Ἰταλίας ἔχοντα, χαλεπῶς δὲ καὶ μόλις τὰ ἐπιτήδεια τῇ
of-Italy having with-difficulty and and barely the provisions for-the
στρατιᾷ δι᾽ ἁρπαγῆς κομιζόμενον, ὁρμώμενον ἀπ᾽ οὐδενὸς
army by plunder bringing setting-out from nothing
βεβαίου πρὸς τὸν πόλεμον, ἀλλ᾽ ὥσπερ λῃστηρίῳ μεγάλῳ
secure for the war but like a-robber-band great
τῷ στρατοπέδῳ πλανώμενον καὶ περιφερόμενον, τότε
with-the army wandering and carried-about then
πᾶσαν ὀλίγου δεῖν ὑφ᾽ αὑτῷ ποιήσασθαι τὴν Ἰταλίαν. τὰ
all of-little to-lack under himself to-have-brought — Italy the
γὰρ πλεῖστα καὶ μέγιστα τῶν ἐθνῶν αὐτῷ προσεχώρησεν
for most and greatest of-the peoples to-him came-over
ἑκούσια, καὶ Καπύην, ἣ μέγιστον ἔχει μετὰ Ῥώμην
willingly and Capua which greatest has after Rome
ἀξίωμα τῶν πόλεων, προσθεμένην κατέσχεν.
dignity of-the cities having-joined he-held
Οὐ μόνον δ᾽ ἦν ἄρα τὸ φίλων πεῖραν λαβεῖν, ὡς
not only and was it-seems the of-friends trial to-take as
Εὐριπίδης φησίν, οὐ σμικρὸν κακόν, ἀλλὰ καὶ τὸ φρονίμων
Euripides says not a-small evil but also the of-prudent
στρατηγῶν. ἡ γὰρ πρὸ τῆς μάχης Φαβίου δειλία καὶ
generals the for before the battle of-Fabius cowardice and

ψυχρότης λεγομένη μετὰ τὴν μάχην εὐθὺς οὐδ' ἀνθρώπινος
coldness called after the battle at-once not-even human
ἐδόκει λογισμός, ἀλλὰ θεῖόν τι χρῆμα διανοίας καὶ
seemed reasoning but divine some thing of-understanding and
δαιμόνιον ἐκ τοσούτου τὰ μέλλοντα προορωμένης, ἃ
supernatural from so-far the future foreseeing which
μόλις ἦν πιστὰ πάσχουσιν. ὅθεν εὐθὺς εἰς ἐκεῖνον ἡ
scarcely were credible to-those-suffering-them whence at-once to him —
Ῥώμη συνενεγκοῦσα τὰς λοιπὰς ἐλπίδας, καὶ προσφυγοῦσα
Rome having-brought-together the remaining hopes and having-fled
τῇ γνώμῃ τοῦ ἀνδρὸς ὥσπερ ἱερῷ καὶ βωμῷ, πρώτην
to-the judgment of-the man as to-a-shrine and an-altar first
καὶ μεγίστην αἰτίαν ἔσχε τοῦ μεῖναι καὶ μὴ διαλυθῆναι τὴν
and greatest cause had of-the to-remain and not to-be-dissolved the
ἐκείνου φρόνησιν, καθάπερ ἐν τοῖς Κελτικοῖς πάθεσιν. ὁ γὰρ
his prudence as in the Celtic calamities he for
ἐν οἷς οὐδὲν ἐδόκει δεινὸν εἶναι καιροῖς εὐλαβὴς φαινόμενος
in which nothing seemed terrible to-be times cautious appearing
καὶ δυσέλπιστος τότε πάντων καταβεβληκότων ἑαυτοὺς εἰς
and despondent then all having-thrown themselves into
ἀπέραντα πένθη καὶ ταραχὰς ἀπράκτους, μόνος ἐφοίτα
boundless mourning and confusions ineffectual alone went-about
διὰ τῆς πόλεως πρᾴῳ βαδίσματι καὶ προσώπῳ καθεστῶτι
through the city with-calm gait and face composed
καὶ φιλανθρώπῳ προσαγορεύσει, κοπετούς τε γυναικείους
and with-kindly address lamentations both of-women
ἀφαιρῶν καὶ συστάσεις εἴργων τῶν εἰς τὸ δημόσιον
removing and gatherings preventing of-the(-ones) into the public
ἐπὶ κοινοῖς ὀδυρμοῖς ἐκφερομένων, βουλήν τε συνελθεῖν
for common wailings pouring-out (the)-senate both to-meet

ἔπεισε καὶ παρεθάρσυνε τὰς ἀρχάς, αὐτὸς ὢν καὶ ῥώμη
he-persuaded and encouraged the magistrates himself being both strength
καὶ δύναμις ἀρχῆς ἁπάσης πρὸς ἐκεῖνον ἀποβλεπούσης.
and power of-office all to him looking
18 Ταῖς μὲν οὖν πύλαις ἐπέστησε τοὺς τὸν ἐκπίπτοντα
the indeed then gates he-set-over the(-men) the escaping
καὶ προλείποντα τὴν πόλιν ὄχλον ἀπείρξοντας, πένθους
and deserting the city crowd to-be-going-to-keep-back of-mourning
δὲ καὶ τόπον καὶ χρόνον ὥρισε, κατ᾽ οἰκίαν ἀποθρηνεῖν
and both place and time he-fixed at home to-lament
κελεύσας ἐφ᾽ ἡμέρας τριάκοντα τὸν βουλόμενον· μετὰ
having-ordered for days thirty the(-one) wishing after
δὲ ταύτας ἔδει πᾶν πένθος λύεσθαι καὶ καθαρεύειν
and these it-was-needful all mourning to-be-ended and to-be-pure
τῶν τοιούτων τὴν πόλιν. ἑορτῆς τε Δήμητρος εἰς τὰς
of-the such-things the city of-a-festival and of-Demeter in the
ἡμέρας ἐκείνας καθηκούσης βέλτιον ἐφάνη παραλιπεῖν
days those falling better it-seemed to-omit
ὅλως τάς τε θυσίας καὶ τὴν πομπὴν ἢ τὸ μέγεθος τῆς
wholly the both sacrifices and the procession than the greatness of-the
συμφορᾶς ὀλιγότητι καὶ κατηφείᾳ τῶν συνερχομένων
calamity by-fewness and dejection of-the(-ones) gathering
ἐλέγχεσθαι· καὶ γὰρ τὸ θεῖον ἥδεσθαι τιμώμενον ὑπὸ
to-be-exposed and for the divine to-be-pleased being-honored by
τῶν εὐτυχούντων. ὅσα μέντοι πρὸς ἱλασμοὺς
the(-ones) prospering as-many-things-as however for propitiations
θεῶν ἢ τεράτων ἀποτροπὰς συνηγόρευον οἱ μάντεις
of-gods or of-portents avertings recommended the seers
ἐπράττετο. καὶ γὰρ εἰς Δελφοὺς ἐπέμφθη θεοπρόπος
were-done and for to Delphi was-sent as-envoy
Πίκτωρ, συγγενὴς Φαβίου, καὶ τῶν Ἑστιάδων παρθένων
Pictor kinsman of-Fabius and of-the Vestal virgins

δύο διεφθαρμένας εὑρόντες, τὴν μέν, ὥσπερ ἐστὶν ἔθος,
two seduced having-found the(-one) indeed as is custom
ζῶσαν κατώρυξαν, ἡ δ' ὑφ' ἑαυτῆς ἀπέθανε.
alive they-buried the(-other) and by herself died
Μάλιστα δ' ἄν τις ἀγάσαιτο τὸ φρόνημα καὶ τὴν
most and — one would-admire the spirit and the
πρᾳότητα τῆς πόλεως, ὅτε τοῦ ὑπάτου Βάρρωνος ἀπὸ τῆς
mildness of-the city when the consul Varro from the
φυγῆς ἐπανιόντος, ὡς ἄν τις αἴσχιστα καὶ δυσποτμότατα
flight returning as — one most-shamefully and most-unfortunately
πεπραχὼς ἐπανίοι, ταπεινοῦ καὶ κατηφοῦς, ἀπήντησεν
having-fared would-return humbled and dejected met
αὐτῷ περὶ τὰς πύλας ἥ τε βουλὴ καὶ τὸ πλῆθος ἅπαν
him at the gates the both senate and the multitude all
ἀσπαζόμενοι. οἱ δ' ἐν τέλει καὶ πρῶτοι τῆς γερουσίας,
greeting the(-men) and in office and first of-the senate
ὧν καὶ Φάβιος ἦν, ἡσυχίας γενομένης ἐπῄνεσαν, ὅτι
of-whom also Fabius was quiet having-come praised-him because
τὴν πόλιν οὐκ ἀπέγνω μετὰ δυστυχίαν τηλικαύτην, ἀλλὰ
the city not he-despaired-of after misfortune so-great but
πάρεστιν ἄρξων ἐπὶ τὰ πράγματα καὶ χρησόμενος
is-present to-be-going-to-govern over the affairs and to-be-going-to-use
τοῖς νόμοις καὶ τοῖς πολίταις ὡς σώζεσθαι δυναμένοις.
the laws and the citizens as to-be-saved able
Ἐπεὶ δ' Ἀννίβαν ἐπύθοντο μετὰ τὴν μάχην ἀποτετράφθαι 19
when and Hannibal they-learned after the battle to-have-turned-away
πρὸς τὴν ἄλλην Ἰταλίαν, ἀναθαρρήσαντες ἐξέπεμπον
to the rest-of Italy having-taken-heart they-sent-out
ἡγεμόνας καὶ στρατεύματα. τούτων δ' ἐπιφανέστατοι
commanders and armies of-these and most-famous
Φάβιός τε Μάξιμος καὶ Κλαύδιος Μάρκελλος ἦσαν,
Fabius both Maximus and Claudius Marcellus were

ἀπὸ τῆς ἐναντίας σχεδὸν προαιρέσεως θαυμαζόμενοι
from the opposite almost policy admired
παραπλησίως. ὁ μὲν γάρ, ὥσπερ ἐν τοῖς περὶ αὐτοῦ
alike the(-one) indeed for as in the about him
γεγραμμένοις εἴρηται, περιλαμπὲς τὸ δραστήριον ἔχων
written-things it-has-been-said brilliant the energy having
καὶ γαῦρον, ἅτε δὴ καὶ κατὰ χεῖρα πλήκτης ἀνὴρ
and proud inasmuch-as indeed also with hand a-striker a-man
καὶ φύσει τοιοῦτος ὢν οἵους Ὅμηρος μάλιστα καλεῖ
and by-nature such being as-those-whom Homer most calls
"φιλοπτολέμους" καὶ "ἀγερώχους," ἐν τῷ παραβόλῳ καὶ
war-loving and haughty in the venturesome and
ἰταμῷ καὶ πρὸς ἄνδρα τολμηρὸν τὸν Ἀννίβαν ἀντιτολμῶντι
headlong and against a-man daring — Hannibal counter-daring
τρόπῳ πολέμου συνίστατο τοὺς πρώτους ἀγῶνας· Φάβιος
manner of-war be-joined the first contests Fabius
δὲ τῶν πρώτων ἐχόμενος λογισμῶν ἐκείνων ἤλπιζε μηδενὸς
but to-the first holding reasonings those hoped no-one
μαχομένου μηδ' ἐρεθίζοντος τὸν Ἀννίβαν αὐτὸν ἐπηρεάσειν
fighting nor provoking — Hannibal him to-be-going-to-abuse
ἑαυτῷ καὶ κατατριβήσεσθαι περὶ τὸν πόλεμον, ὥσπερ
himself and to-be-going-to-be-worn-out in the war as
ἀθλητικοῦ σώματος τῆς δυνάμεως ὑπερτόνου γενομένης καὶ
of-an-athletic body the strength overstrained having-become and
καταπόνου, ταχύτατα τὴν ἀκμὴν ἀποβαλόντα. διὸ τοῦτον
exhausted most-quickly the vigor having-lost therefore this-one
μὲν ὁ Ποσειδώνιός φησι θυρεόν, τὸν δὲ Μάρκελλον ξίφος
indeed — Posidonius says shield — and Marcellus sword
ὑπὸ τῶν Ῥωμαίων καλεῖσθαι, κιρναμένην δὲ τὴν Φαβίου
by the Romans to-be-called being-blended and the of-Fabius
βεβαιότητα καὶ ἀσφάλειαν τῇ Μαρκέλλου συνηθείᾳ
steadiness and safety with-the of-Marcellus habit

σωτήριον γενέσθαι τοῖς Ῥωμαίοις. ὁ δ' Ἀννίβας τῷ
saving to-have-been for-the Romans — and Hannibal the(-one)
μὲν ὡς ῥέοντι σφόδρα ποταμῷ πολλάκις ἀπαντῶν ἐσείετο
indeed as flowing violently river often meeting was-shaken
καὶ παρερρήγνυτο τὴν δύναμιν, ὑφ' οὗ δὲ καὶ κατὰ
and was-shattered-in the force by the(-other) and also by
μικρὸν ὑπορρέοντος ἀψοφητὶ καὶ παρεμπίπτοντος ἐνδελεχῶς
little flowing-under noiselessly and falling-in continually
ὑπερειπόμενος καὶ δαπανώμενος ἐλάνθανε· καὶ τελευτῶν
being-undermined and being-consumed escaped-notice and ending
εἰς ἀπορίαν κατέστη τοσαύτην ὥστε Μαρκέλλῳ μὲν
in perplexity he-fell so-great that with-Marcellus indeed
ἀποκαμεῖν μαχόμενον, Φάβιον δὲ φοβεῖσθαι μὴ μαχόμενον.
to-be-tired fighting Fabius and to-fear not fighting
Τὸ γὰρ πλεῖστον, ὡς εἰπεῖν, τοῦ χρόνου τούτοις
the for most as to-say of-the time with-these
διεπολέμησεν ἢ στρατηγοῖς ἢ ἀνθυπάτοις ἢ ὑπάτοις
he-fought-through either praetors or proconsuls or consuls
ἀποδεδειγμένοις· ἑκάτερος γὰρ αὐτῶν πεντάκις ὑπάτευσεν.
appointed each for of-them five-times was-consul
ἀλλὰ Μάρκελλον μὲν ὑπατεύοντα τὸ πέμπτον ἐνέδρᾳ
but Marcellus indeed being-consul the fifth-time in-an-ambush
περιβαλὼν ἔκτεινε, Φαβίῳ δὲ πᾶσαν ἀπάτην καὶ διάπειραν
having-trapped he-killed to-Fabius but every deceit and trial
ἐπάγων πολλάκις οὐδὲν ἐπέραινε, πλὴν ἅπαξ ὀλίγου
applying often nothing he-accomplished except once of-little
παρακρουσάμενος ἔσφηλε τὸν ἄνδρα. συνθεὶς γὰρ
having-deceived he-tripped the man having-composed for
ἐπιστολὰς παρὰ τῶν ἐν Μεταποντίῳ δυνατῶν καὶ πρώτων
letters from the in Metapontum powerful and first
ἔπεμψε πρὸς τὸν Φάβιον, ὡς τῆς πόλεως ἐνδοθησομένης
he-sent to — Fabius as the city to-be-going-to-be-surrendered

εἰ παραγένοιτο, καὶ τῶν τοῦτο πραττόντων ἐκεῖνον
if he-should-come and of-the(-men) this doing him
ἐλθεῖν καὶ φανῆναι πλησίον ἀναμενόντων. ταῦτ' ἐκίνησε
to-come and to-appear near waiting these-things moved
τὸν Φάβιον τὰ γράμματα, καὶ λαβὼν μέρος τι τῆς
— Fabius the letters and having-taken part some of-the
στρατιᾶς ἔμελλεν ὁρμήσειν διὰ νυκτός· εἶτα χρησάμενος
army he-was-about to-set-out by night then having-consulted
ὄρνισιν οὐκ αἰσίοις ἀπετράπη, καὶ μετὰ μικρὸν ἐπεγνώσθη
birds not auspicious he-was-turned-back and after a-little was-discovered
τὰ γράμματα πρὸς αὐτὸν ὑπ' Ἀννίβου δόλῳ συντεθέντα
the letters to him by Hannibal by-trickery composed
κἀκεῖνος ἐνεδρεύων αὐτὸν ὑπὸ τὴν πόλιν. ἀλλὰ ταῦτα
and-he lying-in-ambush-for him under the city but these-things
μὲν ἄν τις εὐνοίᾳ θεῶν ἀναθείη.
indeed — one to-goodwill of-gods would-ascribe
20 Τὰς δ' ἀποστάσεις τῶν πόλεων καὶ τὰ κινήματα τῶν
the and revolts of-the cities and the stirrings of-the
συμμάχων ὁ Φάβιος μᾶλλον ᾤετο δεῖν ἠπίως
allies — Fabius rather thought it-to-be-needful gently
ὁμιλοῦντα καὶ πρᾴως ἀνείργειν καὶ δυσωπεῖν, μὴ πᾶσαν
dealing and mildly to-restrain and to-shame not every
ὑπόνοιαν ἐλέγχοντα καὶ χαλεπὸν ὄντα παντάπασι τοῖς
suspicion examining and harsh being altogether to-the
ὑπόπτοις. λέγεται γὰρ ὅτι στρατιώτην ἄνδρα Μάρσον,
suspected it-is-said for that a-soldier a-man Marsian
ἀνδρείᾳ καὶ γένει τῶν συμμάχων πρῶτον, αἰσθόμενος
in-courage and birth of-the allies first having-perceived
διειλεγμένον τισὶ τῶν ἐν τῷ στρατοπέδῳ περὶ
having-talked with-some of-the(-men) in the camp about
ἀποστάσεως οὐ διηρέθισεν, ἀλλ' ὁμολογήσας ἠμελῆσθαι
revolt not he-provoked but having-admitted to-have-been-neglected

παρ᾽ ἀξίαν αὐτόν, νῦν μὲν ἔφη τοὺς ἡγεμόνας αἰτιᾶσθαι
beyond merit him now indeed he-said the commanders to-blame
πρὸς χάριν μᾶλλον ἢ πρὸς ἀρετὴν τὰς τιμὰς νέμοντας,
for favor rather than for merit the honors distributing
ὕστερον δ᾽ ἐκεῖνον αἰτιάσεσθαι μὴ φράζοντα μηδ᾽
later and him to-be-going-to-blame not telling nor
ἐντυγχάνοντα πρὸς αὐτόν, εἴ του δέοιτο. καὶ ταῦτ᾽
approaching to him if anything he-should-need and these-things
εἰπὼν ἵππον τε πολεμιστὴν ἐδωρήσατο καὶ τοῖς ἄλλοις
having-said a-horse both of-war he-presented and with-the other
ἀριστείοις ἐκόσμησεν, ὥστε πιστότατον ἐξ ἐκείνου καὶ
prizes adorned so-that most-faithful from that and
προθυμότατον εἶναι τὸν ἄνδρα. δεινὸν γὰρ ἡγεῖτο τοὺς
most-zealous to-be the man terrible for he-thought the
μὲν ἱππικοὺς καὶ κυνηγετικοὺς ἐπιμελείᾳ καὶ συνηθείᾳ καὶ
indeed horse-trainers and hunters by-care and by-familiarity and
τροφῇ μᾶλλον ἢ μάστιξι καὶ κλοιοῖς τὴν χαλεπότητα
by-feeding rather than by-whips and collars the savageness
τῶν ζῴων καὶ τὸ θυμούμενον καὶ τὸ δυσκολαίνον ἐξαιρεῖν,
of-the animals and the anger and the sullenness to-remove
τὸν δ᾽ ἀνθρώπων ἄρχοντα μὴ τὸ πλεῖστον ἐν χάριτι
the but of-men commander not the most in favor
καὶ πραότητι τῆς ἐπανορθώσεως τίθεσθαι, σκληρότερον
and mildness of-the correction to-place harsher
δὲ προσφέρεσθαι καὶ βιαιότερον ἢπερ οἱ γεωργοῦντες
but to-deal and more-violently than the(-ones) farming
ἐρινεοῖς καὶ ἀχράσι καὶ κοτίνοις προσφέρονται, τὰ
with-wild-figs and wild-pears and wild-olives deal the(-ones)
μὲν εἰς ἐλαίας, τὰ δ᾽ εἰς ἀπίους, τὰ δ᾽ εἰς
indeed into olives the(-others) and into pears the(-others) and into
συκᾶς ἐξημεροῦντες καὶ τιθασεύοντες.
figs domesticating and taming

Ἕτερον τοίνυν τῷ γένει Λευκανὸν ἄνδρα προσήγγειλαν
another moreover by-the race Lucanian man reported
οἱ λοχαγοὶ ῥεμβόμενον ἀπὸ τοῦ στρατοπέδου καὶ τὴν
the centurions roving from the camp and the
τάξιν ἐκλείποντα πολλάκις. ὁ δ' ἠρώτησε, τἆλλα
post leaving often he and asked in-other-respects
ποιόν τινα τὸν ἄνθρωπον εἰδεῖεν ὄντα. μαρτυρούντων
what-sort-of some the man they-knew being testifying
δὲ πάντων ὅτι ῥᾳδίως ἕτερος οὐκ εἴη στρατιώτης
and all that easily another not would-be soldier
τοιοῦτος, ἅμα τ' αὐτοῦ τινας ἀνδραγαθίας ἐπιφανεῖς
such at-the-same-time and his some acts-of-valor conspicuous
καὶ πράξεις λεγόντων, αἰτίαν τῆς ἀταξίας ζητῶν εὗρεν
and deeds telling (the)-cause of-the indiscipline seeking he-found
ἔρωτι παιδίσκης κατεχόμενον τὸν ἄνδρα καὶ κινδυνεύοντα
by-love of-a-girl possessed the man and risking
μακρὰς ὁδοὺς ἑκάστοτε φοιτῶντα πρὸς ἐκείνην ἀπὸ τοῦ
long journeys each-time going to her from the
στρατοπέδου. πέμψας οὖν τινας ἀγνοοῦντος αὐτοῦ καὶ
camp having-sent then some not-knowing him and
συλλαβὼν τὸ γύναιον ἔκρυψεν ἐν τῇ σκηνῇ, καὶ καλέσας
having-seized the woman he-hid-her in the tent and having-called
τὸν Λευκανὸν ἰδίᾳ πρὸς αὑτόν, "Οὐ λέληθας,"
the Lucanian privately to himself not you-have-escaped-notice
ἔφη, "παρὰ τὰ Ῥωμαίων πάτρια καὶ τοὺς νόμους
he-said against the of-Romans ancestral-ways and the laws
ἀπονυκτερεύων τοῦ στρατοπέδου πολλάκις· ἀλλ' οὐδὲ
spending-the-nights-away from-the camp often but nor
χρηστὸς ὢν πρότερον ἐλελήθεις. τὰ μὲν οὖν
good being before you-had-escaped-notice the indeed then
ἡμαρτημένα σοι λελύσθω τοῖς ἠνδραγαθημένοις, τὸ δὲ
offenses for-you let-be-canceled by-the acts-of-valor the and

λοιπὸν ἐφ᾽ ἑτέρῳ ποιήσομαι τὴν φρουράν.” θαυμάζοντος δὲ
future to another I-will-make the guard wondering and
τοῦ στρατιώτου προαγαγὼν τὴν ἄνθρωπον ἐνεχείρισεν
the soldier having-brought-forward the woman he-handed-her-over
αὐτῷ καὶ εἶπεν· “Αὕτη μὲν ἐγγυᾶταί σε μενεῖν ἐν τῷ
to-him and said she indeed pledges you to-be-going-to-stay in the
στρατοπέδῳ μεθ᾽ ἡμῶν· σὺ δ᾽ ἔργῳ δείξεις, εἰ μὴ δι᾽
camp with us you and by-deed will-show whether not because-of
ἄλλην τινὰ μοχθηρίαν ἀπέλειπες, ὁ δ᾽ ἔρως καὶ αὕτη
another some baseness you-left the and love and she
πρόφασις ἦν λεγομένη.” ταῦτα μὲν περὶ τούτων ἱστοροῦσι.
a-pretext was alleged these-things indeed about these they-relate

21–24 · TARENTUM

Fabius took Tarentum by treachery: a young Tarentine used his sister to win over the Bruttian garrison commander, while a diversion drew Hannibal toward Caulonia. Fabius had the Bruttians killed first, to hide the betrayal, and was called faithless and cruel. He left the Tarentines their angry gods but took a colossus of Heracles. Hannibal, too late, said Rome too had a Hannibal, and Fabius won a second triumph. To Livius, who claimed the credit, he laughed that had Livius not lost the city he would not have retaken it. He dismounted at his consul son's order, and bore his son's death calmly.

Τὴν δὲ Ταραντίνων πόλιν ἔσχεν ἑαλωκυῖαν ἐκ προδοσίας 21
the and of-Tarentines city he-took captured through treason
τὸν τρόπον τοῦτον. ἐστρατεύετο παρ᾽ αὐτῷ νεανίας
the way this served with him a-young-man
Ταραντῖνος ἔχων ἀδελφὴν πιστῶς πάνυ καὶ φιλοστόργως
Tarentine having a-sister faithfully very and affectionately
διακειμένην πρὸς αὐτόν. ἦρα δὲ ταύτης ἀνὴρ Βρέττιος
disposed toward him loved and her a-man Bruttian

τῶν τεταγμένων ὑπ᾽ Ἀννίβου τὴν πόλιν φρουρεῖν ἐφ᾽
of-the(-men) posted by Hannibal the city to-guard in
ἡγεμονίας. τοῦτο πράξεως ἐλπίδα τῷ Ταραντίνῳ παρέσχε,
command this of-action a-hope to-the Tarentine gave
καὶ τοῦ Φαβίου συνειδότος εἰς τὴν πόλιν ἀφείθη, λόγῳ
and — Fabius knowing-of-it into the city he-was-let-go in-pretense
δ᾽ ἀποδεδράκει πρὸς τὴν ἀδελφὴν εἰς Τάραντα. αἱ μὲν
and he-had-deserted to the sister into Tarentum the indeed
οὖν πρῶται τῶν ἡμερῶν ἦσαν, καὶ καθ᾽ ἑαυτὸν ὁ Βρέττιος
then first of-the days passed and by himself the Bruttian
ἀνεπαύετο, λανθάνειν τὸν ἀδελφὸν οἰομένης ἐκείνης. ἔπειτα
rested to-escape-notice the brother thinking she then
λέγει πρὸς αὐτὴν ὁ νεανίας· "Καὶ μὴν ἐκεῖ λόγος ἐφοίτα
says to her the young-man and indeed there a-report went-about
πολὺς ἀνδρί σε τῶν δυνατῶν καὶ μεγάλων συνεῖναι. τίς
much with-a-man you of-the powerful and great to-be-living who
οὗτός ἐστιν; εἰ γὰρ εὐδόκιμός τις, ὥς φασιν, ἀρετῇ καὶ
this-man is if for well-reputed someone as they-say for-valor and
λαμπρός, ἐλάχιστα φροντίζει γένους ὁ πάντα συμμιγνὺς
brilliant least cares for-birth the all mingling
πόλεμος· αἰσχρὸν δὲ μετ᾽ ἀνάγκης οὐδέν, ἀλλ᾽ εὐτυχία
war shameful and with necessity nothing but a-good-fortune
τις ἐν καιρῷ τὸ δίκαιον ἀσθενὲς ἔχοντι πραοτάτῳ
some in season the just weak for(-one)-having most-mild
χρήσασθαι τῷ βιαζομένῳ." ἐκ τούτου μεταπέμπεται
to-use the(-one) forcing from this sends-for
μὲν ἡ γυνὴ τὸν Βρέττιον καὶ γνωρίζει τὸν ἀδελφὸν
indeed the woman the Bruttian and introduces the brother
αὐτῷ· ταχὺ δὲ συμπράττων τὴν ἐπιθυμίαν ἐκεῖνος καὶ
to-him quickly and furthering the passion he and
μᾶλλον ἢ πρότερον εὔνους καὶ χειροήθη τῷ βαρβάρῳ
more than before well-disposed and tractable to-the barbarian

παρέχειν δοκῶν τὴν ἀδελφήν, ἔσχε πιστῶς, ὥστε
to-make seeming the sister he-held-him faithfully so-that
μὴ χαλεπῶς ἐρῶντος ἀνθρώπου μισθοφόρου μεταστῆσαι
not with-difficulty in-love of-a-man mercenary to-change
διάνοιαν ἐπ' ἐλπίσι δωρεῶν μεγάλων, ἃς ἐπηγγέλλετο
(his)-mind with hopes of-gifts great which he-promised
παρέξειν αὐτῷ τὸν Φάβιον.
to-be-going-to-provide for-him — Fabius
Ταῦτα μὲν οὖν οἱ πλεῖστοι γράφουσι περὶ τούτων·
these-things indeed then the most write about these
ἔνιοι δὲ τὴν ἄνθρωπον ὑφ' ἧς ὁ Βρέττιος μετήχθη,
some and the woman by whom the Bruttian was-won-over
φασὶν οὐ Ταραντίνην, ἀλλὰ Βρεττίαν τὸ γένος οὖσαν,
say not Tarentine but Bruttian by-the race being
τῷ δὲ Φαβίῳ παλλακευομένην, ὡς ᾔσθετο πολίτην
— and to-Fabius being-a-concubine when she-perceived a-fellow-citizen
καὶ γνώριμον ὄντα τὸν τῶν Βρεττίων ἄρχοντα, τῷ τε
and acquaintance being the of-the Bruttians commander — both
Φαβίῳ φράσαι καὶ συνελθοῦσαν εἰς λόγους ὑπὸ τὸ τεῖχος
to-Fabius to-tell and having-come into talks under the wall
ἐκπεῖσαι καὶ κατεργάσασθαι τὸν ἄνθρωπον.
to-persuade and to-win-over the man
Πραττομένων δὲ τούτων, ὁ Φάβιος περισπάσαι τὸν 22
being-done and these-things — Fabius to-draw-away —
Ἀννίβαν τεχνάζων ἐπέστειλε τοῖς ἐν Ῥηγίῳ στρατιώταις
Hannibal contriving wrote to-the in Rhegium soldiers
τὴν Βρεττίαν καταδραμεῖν καὶ Καυλωνίαν ἐξελεῖν
— Bruttium to-overrun and Caulonia to-take
κατὰ κράτος στρατοπεδεύσαντας, ὀκτακισχιλίους ὄντας,
by force having-encamped eight-thousand being
αὐτομόλους δὲ τοὺς πολλοὺς καὶ τῶν ἐκ Σικελίας ὑπὸ
deserters and the many and of-the(-men) from Sicily by

Μαρκέλλου κεκομισμένων ἀτίμων τοὺς ἀχρηστοτάτους καὶ
Marcellus brought dishonored the most-useless and
μετ' ἐλαχίστης τῇ πόλει λύπης καὶ βλάβης ἀπολουμένους.
with least to-the city grief and harm to-be-going-to-perish
ἤλπιζε γὰρ τούτους προέμενος τῷ Ἀννίβᾳ καὶ δελεάσας
he-hoped for these having-thrown-out — to-Hannibal and having-baited
ἀπάξειν αὐτὸν ἀπὸ τοῦ Τάραντος· ὃ καὶ
to-be-going-to-lead-away him from — Tarentum which also
συνέβαινεν. εὐθὺς γὰρ ἐκεῖ διώκων ὁ Ἀννίβας ἐρρύη
happened at-once for there pursuing — Hannibal streamed
μετὰ τῆς δυνάμεως. ἡμέρᾳ δ' ἕκτῃ τοὺς Ταραντίνους τοῦ
with the force on-day and sixth the Tarentines —
Φαβίου περιστρατοπεδεύσαντος, ὁ προδιειλεγμένος τῷ
Fabius having-besieged the having-arranged-beforehand with-the
Βρεττίῳ μετὰ τῆς ἀδελφῆς νεανίσκος ἦκε νύκτωρ πρὸς
Bruttian through the sister young-man came by-night to
αὐτόν, εἰδὼς ἀκριβῶς καὶ καθεωρακὼς τὸν τόπον ἐφ' οὗ
him knowing exactly and having-observed the place at which
παραφυλάττων ὁ Βρέττιος ἔμελλεν ἐνδώσειν καὶ παρήσειν
keeping-watch the Bruttian was-going to-give-way and to-let-in
τοῖς προσβάλλουσιν. οὐ μὴν ἁπλῶς γε τῆς προδοσίας
the attackers not indeed simply at-least on-the treason
ἐξήρτησεν ὁ Φάβιος τὴν πρᾶξιν, ἀλλ' αὐτὸς μὲν ἐκεῖσε
hung — Fabius the action but himself indeed thither
παρελθὼν ἡσυχίαν ἦγεν, ἡ δ' ἄλλη στρατιὰ προσέβαλλε
having-come quiet kept the but other army attacked
τοῖς τείχεσιν ἔκ τε γῆς καὶ θαλάττης ἅμα, ποιοῦσα
the walls from both land and sea at-the-same-time making
πολλὴν κραυγὴν καὶ θόρυβον, ἄχρι οὗ τῶν πλείστων
much shouting and uproar until when the most
Ταραντίνων ἐκεῖ βοηθούντων καὶ συμφερομένων τοῖς
Tarentines there helping and joining the(-men)

τειχομαχοῦσιν ἐσήμηνε τῷ Φαβίῳ τὸν καιρὸν ὁ Βρέττιος,
fighting-at-the-walls signaled — to-Fabius the moment the Bruttian
καὶ διὰ κλιμάκων ἀναβὰς ἐκράτησε τῆς πόλεως.
and by ladders having-climbed he-mastered the city
Ἐνταῦθα μέντοι δοκεῖ φιλοτιμίας ἥττων γενέσθαι· τοὺς
here however he-seems than-ambition weaker to-have-become the
γὰρ Βρεττίους πρώτους ἀποσφάττειν ἐκέλευσεν, ὡς μὴ
for Bruttians first to-slaughter he-ordered that not
προδοσίᾳ τὴν πόλιν ἔχων φανερὸς γένοιτο, καὶ ταύτης
by-treason the city having manifest he-might-become and this
τε διήμαρτε τῆς δόξης καὶ διαβολὴν ἀπιστίας προσέλαβε
both he-missed the reputation and a-charge of-faithlessness incurred
καὶ ὠμότητος. ἀπέθανον δὲ πολλοὶ καὶ τῶν Ταραντίνων·
and of-cruelty died and many also of-the Tarentines
οἱ δὲ πραθέντες ἐγένοντο τρισμύριοι, καὶ τὴν πόλιν ἡ
the(-ones) and sold were thirty-thousand and the city the
στρατιὰ διήρπασεν· ἀνηνέχθη δ' εἰς τὸ δημόσιον τρισχίλια
army plundered was-brought-up and into the treasury three-thousand
τάλαντα. πάντων δὲ τῶν ἄλλων ἀγομένων καὶ φερομένων
talents all and the others being-driven-off and being-carried-off
λέγεται τὸν γραμματέα πυθέσθαι τοῦ Φαβίου περὶ τῶν
it-is-said the secretary to-have-asked — of-Fabius about the
θεῶν τί κελεύει, τὰς γραφὰς οὕτω προσαγορεύσαντα καὶ
gods what he-orders the paintings so calling and
τοὺς ἀνδριάντας· τὸν οὖν Φάβιον εἰπεῖν· "Ἀπολείπωμεν
the statues — then Fabius to-have-said let-us-leave
τοὺς θεοὺς Ταραντίνοις κεχολωμένους." οὐ μὴν ἀλλὰ τὸν
the gods for-Tarentines angered not however but the
κολοσσὸν τοῦ Ἡρακλέους μετακομίσας ἐκ Τάραντος ἔστησεν
colossus — of-Heracles having-brought from Tarentum he-set-up
ἐν Καπιτωλίῳ, καὶ πλησίον ἔφιππον εἰκόνα χαλκῆν
on-the Capitol and near an-equestrian statue bronze

ἑαυτοῦ, πολὺ Μαρκέλλου φανεὶς ἀτοπώτερος περὶ ταῦτα,
of-himself much than-Marcellus appearing more-odd in these-things
μᾶλλον δ' ὅλως ἐκεῖνον ἄνδρα πρᾳότητι καὶ φιλανθρωπίᾳ
rather but wholly that man for-mildness and humanity
θαυμαστὸν ἀποδείξας, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται.
wonderful having-shown as in the about him has-been-written
23 Ἀννίβαν δὲ λέγεται διώκοντα τεσσαράκοντα μόνοις
Hannibal and it-is-said pursuing by-forty only
ἀπολειφθῆναι σταδίοις, καὶ φανερῶς μὲν εἰπεῖν· "Ἦν
to-have-fallen-short stades and openly indeed to-have-said there-was
ἄρα καὶ Ῥωμαίοις Ἀννίβας τις ἕτερος· ἀπεβάλομεν γὰρ
it-seems also for-Romans Hannibal some other we-have-lost for
τὴν Ταραντίνων πόλιν ὥσπερ ἐλάβομεν," ἰδίᾳ δὲ τότε
the of-Tarentines city as we-took-it privately and then
πρῶτον αὐτῷ παραστῆναι πρὸς τοὺς φίλους εἰπεῖν, ὡς
first to-him to-have-occurred to the friends to-say that
πάλαι μὲν ἑώρα χαλεπὸν αὐτοῖς, νῦν δ' ἀδύνατον κρατεῖν
long-ago indeed he-saw hard for-them now but impossible to-master
ἀπὸ τῶν ὑπαρχόντων Ἰταλίας. τοῦτον δεύτερον θρίαμβον
from the existing-forces Italy this second triumph
ἐθριάμβευσε λαμπρότερον τοῦ προτέρου Φάβιος, ὥσπερ
celebrated more-splendid than-the former Fabius like
ἀθλητὴς ἀγαθὸς ἐπαγωνιζόμενος τῷ Ἀννίβᾳ καὶ ῥᾳδίως
an-athlete good contending-against — Hannibal and easily
ἀπολυόμενος αὐτοῦ τὰς πράξεις, ὥσπερ ἅμματα καὶ λαβὰς
undoing his the actions like knots and holds
οὐκέτι τὸν αὐτὸν ἐχούσας τόνον. ἡ μὲν γὰρ ἀνεῖτο
no-longer the same having tension the(-one) indeed for had-been-relaxed
τῆς δυνάμεως αὐτῷ διὰ τρυφὴν καὶ πλοῦτον, ἡ δ'
of-the force for-him because-of luxury and wealth the(-other) and
ὥσπερ ἐξήμβλυντο καὶ κατατέτριπτο τοῖς ἀλωφήτοις ἀγῶσιν.
as-it-were had-been-blunted and worn-out by-the unceasing contests

Ἦν δὲ Μάρκος Λίβιος, οὗ τὸν Τάραντα φρουροῦντος
was and Marcus Livius who — Tarentum guarding
ὁ Ἀννίβας ἀπέστησεν· ὅμως δὲ τὴν ἄκραν κατέχων
— Hannibal had-made-revolt nevertheless and the citadel holding
οὐκ ἐξεκρούσθη, καὶ διεφύλαξεν ἄχρι τοῦ πάλιν ὑπὸ
not he-was-driven-out and held-it-safe until the again under
Ῥωμαίοις γενέσθαι τοὺς Ταραντίνους. τοῦτον ἠνία Φάβιος
Romans to-become the Tarentines this-man grieved Fabius
τιμώμενος, καί ποτε πρὸς τὴν σύγκλητον ὑπὸ φθόνου
being-honored and once to the senate by envy
καὶ φιλοτιμίας ἐξενεχθεὶς εἶπεν ὡς οὐ Φάβιος, ἀλλ' αὐτὸς
and ambition carried-away he-said that not Fabius but himself
αἴτιος γένοιτο τοῦ τὴν Ταραντίνων ἁλῶναι. γελάσας
cause had-been of-the the(-city) of-Tarentines to-be-taken having-laughed
οὖν ὁ Φάβιος, "Ἀληθῆ λέγεις," εἶπεν, "εἰ μὴ γὰρ σὺ
then — Fabius true-things you-say he-said if not for you
τὴν πόλιν ἀπέβαλες, οὐκ ἂν ἐγὼ παρέλαβον."
the city had-lost not — I would-have-recovered-it
Οἱ δὲ Ῥωμαῖοι τά τ' ἄλλα τῷ Φαβίῳ προσεφέροντο 24
the and Romans the both other-things — to-Fabius behaved
λαμπρῶς, καὶ τὸν υἱὸν αὐτοῦ Φάβιον ἀνέδειξαν ὕπατον.
splendidly and the son his Fabius appointed consul
παραλαβόντος δὲ τὴν ἀρχὴν αὐτοῦ καὶ διοικοῦντός τι
having-received and the office him and managing some
τῶν πρὸς τὸν πόλεμον ὁ πατήρ, εἴτε διὰ γῆρας καὶ
of-the for the war the father either because-of age and
ἀσθένειαν εἴτε διαπειρώμενος τοῦ παιδός, ἀναβὰς ἐφ'
weakness or testing the son having-mounted on
ἵππον προσῄει διὰ τῶν ἐντυγχανόντων καὶ περιεστώτων.
a-horse approached through the(-ones) meeting and standing-around
ὁ δὲ νεανίας κατιδὼν πόρρωθεν οὐκ ἠνέσχετο, πέμψας
the and young-man having-seen from-afar not he-tolerated-it having-sent

δ' ὑπηρέτην ἐκέλευσε καταβῆναι τὸν πατέρα καὶ δι'
and an-attendant he-ordered to-dismount the father and through
αὐτοῦ προσελθεῖν, εἰ δή τι τυγχάνει τῆς ἀρχῆς
himself to-approach if indeed something he-happens of-the office
δεόμενος. καὶ τοὺς μὲν ἄλλους ἠνίασε τὸ ἐπίταγμα, καὶ
needing and the indeed others grieved the command and
σιωπῇ πρὸς τὸν Φάβιον ὡς ἀνάξια πάσχοντα τῆς
in-silence to — Fabius as unworthy-things suffering of-the
δόξης ἀπέβλεψαν· αὐτὸς δ' ἐκεῖνος ἀποπηδήσας κατὰ
reputation looked himself but he having-leapt-down with
τάχος, θᾶττον ἢ βάδην πρὸς τὸν υἱὸν ἐπειχθείς, καὶ
speed faster than at-a-walk to the son having-hurried and
περιβαλὼν καὶ ἀσπασάμενος, "Εὖ γε," εἶπεν, "ὦ παῖ,
having-embraced and having-greeted well indeed he-said O son
φρονεῖς καὶ πράττεις, αἰσθόμενος τίνων ἄρχεις καὶ
you-think and act having-perceived whom you-command and
πηλίκης μέγεθος ἀνείληφας ἀρχῆς. οὕτω καὶ ἡμεῖς καὶ
how-great a-greatness you-have-taken-up of-office thus both we and
οἱ πρόγονοι τὴν Ῥώμην ηὐξήσαμεν, ἐν δευτέρῳ καὶ γονεῖς
the ancestors — Rome increased in second-place both parents
καὶ παῖδας ἀεὶ τῶν τῆς πατρίδος καλῶν τιθέμενοι."
and children always of-the of-the fatherland good-things placing
Λέγεται δ' ὡς ἀληθῶς τοῦ Φαβίου τὸν πρόπαππον ἐν
it-is-said and that truly — of-Fabius the great-grandfather in
δόξῃ καὶ δυνάμει μεγίστῃ Ῥωμαίων γενόμενον πεντάκις
glory and power greatest of-Romans having-been five-times
μὲν αὐτὸν ὑπατεῦσαι καὶ θριάμβους ἐκ πολέμων
indeed himself to-have-been-consul and triumphs from wars
μεγίστων ἐπιφανεστάτους καταγαγεῖν, ὑπατεύοντι δ'
greatest most-splendid to-have-celebrated being-consul and
υἱῷ πρεσβευτὴν συνεξελθεῖν ἐπὶ τὸν πόλεμον, ἐν
to-his-son as-legate to-have-gone-out-with to the war in

δὲ τῷ θριάμβῳ τὸν μὲν εἰσελαύνειν ἐπὶ τεθρίππῳ,
and the triumph the(-one) indeed to-drive-in on a-four-horse-chariot
τὸν δ' ἵππον ἔχοντα μετὰ τῶν ἄλλων ἐπακολουθεῖν,
the(-other) and a-horse having with the others to-follow-behind
ἀγαλλόμενον ὅτι τοῦ μὲν υἱοῦ κύριος, τῶν δὲ πολιτῶν
exulting that of-the indeed son master of-the and citizens
μέγιστος καὶ ὢν καὶ προσαγορευόμενος, ὕστερον αὑτὸν
greatest both being and being-called second himself
τοῦ νόμου καὶ τοῦ ἄρχοντος τίθησιν. ἀλλὰ γὰρ ἐκεῖνος
to-the law and to-the magistrate places but for that-man
οὐκ ἀπὸ τούτων μόνον θαυμαστὸς ἦν.
not from these only wonderful was
Τοῦ δὲ Φαβίου τὸν υἱὸν ἀποθανεῖν συνέβη· καὶ τὴν
— and of-Fabius the son to-die happened and the
μὲν συμφορὰν ὡς ἀνήρ τε φρόνιμος καὶ πατὴρ χρηστὸς
indeed misfortune as a-man both prudent and father good
ἤνεγκε μετριώτατα, τὸ δ' ἐγκώμιον, ὃ ταῖς ἐκκομιδαῖς
he-bore most-moderately the and eulogy which at-the funerals
τῶν ἐπιφανῶν οἱ προσήκοντες ἐπιτελοῦσιν, αὐτὸς εἶπε
of-the illustrious the kinsmen perform himself he-spoke
καταστὰς ἐν ἀγορᾷ, καὶ γράψας τὸν λόγον ἐξέδωκεν.
having-stood-up in (the)-forum and having-written the speech published-it

When Scipio, returned from Spain, proposed to carry the war to Africa, Fabius opposed him, from caution first and then from rivalry. He won over the senate, urged Crassus not to yield the command, and blocked money and recruits, so that Scipio raised funds from Etruria and was voted only the armies in Sicily. When Scipio's victories in Africa recalled Hannibal, Fabius demanded a successor for him and warned of danger, seeming envious or timid with age. Scipio's victory restored Rome; Fabius died before it, and each citizen gave a small coin to bury him as a father of the people.

25 Ἐπεὶ δὲ Σκηπίων Κορνήλιος εἰς Ἰβηρίαν πεμφθεὶς
when and Scipio Cornelius to Iberia having-been-sent
Καρχηδονίους μὲν ἐξήλασε μάχαις πολλαῖς κρατήσας,
Carthaginians indeed drove-out in-battles many having-prevailed
ἔθνη δὲ πάμπολλα καὶ πόλεις μεγάλας καὶ πράγματα
peoples and very-many and cities great and affairs
λαμπρὰ Ῥωμαίοις κτησάμενος εὔνοιαν εἶχε καὶ δόξαν
brilliant for-Romans having-won goodwill had and glory
ἐπανελθὼν ὅσην ἄλλος οὐδείς, ὕπατος δὲ καταστα θεὶς
having-returned as-much-as other no-one consul and having-been-made
καὶ τὸν δῆμον αἰσθόμενος μεγάλην ἀπαιτοῦντα καὶ
and the people having-perceived great demanding and
προσδεχόμενον πρᾶξιν αὐτοῦ, τὸ μὲν αὐτόθι συμπλέκεσθαι
expecting action from-him the indeed there to-engage
πρὸς Ἀννίβαν ἀρχαῖον ἡγεῖτο λίαν καὶ πρεσβυτικόν,
with Hannibal old-fashioned he-considered very and elderly
αὐτὴν δὲ Καρχηδόνα καὶ Λιβύην εὐθὺς ἐμπλήσας ὅπλων
itself and Carthage and Libya at-once having-filled with-arms
καὶ στρατευμάτων διενοεῖτο πορθεῖν καὶ τὸν πόλεμον
and armies he-intended to-ravage and the war
ἐκ τῆς Ἰταλίας ἐκεῖ μεθιστάναι, καὶ πρὸς τοῦτο παντὶ
from — Italy thither to-transfer and to this with-all

τῷ θυμῷ συνεξώρμα τὸν δῆμον, ἐνταῦθα δὴ Φάβιος
the passion he-urged-on the people here indeed Fabius
ἐπὶ πᾶν δέους ἄγων τὴν πόλιν, ὡς ὑπ᾽ ἀνδρὸς
to every-extreme of-fear leading the city as by a-man
ἀνοήτου καὶ νέου φερομένην εἰς τὸν ἔσχατον καὶ μέγιστον
senseless and young being-carried into the extreme and greatest
κίνδυνον, οὔτε λόγου φειδόμενος οὔτ᾽ ἔργου δοκοῦντος
danger neither word sparing nor deed seeming
ἀποτρέψειν τοὺς πολίτας τὴν μὲν βουλὴν ἔπεισε,
to-be-going-to-turn-away the citizens the indeed senate persuaded
τῷ δὲ δήμῳ διὰ φθόνον ἐδόκει τοῦ Σκηπίωνος
to-the but people because-of envy he-seemed — of-Scipio
εὐημεροῦντος ἐπιλαμβάνεσθαι καὶ δεδιέναι, μή τι
succeeding to-hinder and to-fear lest something
μέγα καὶ λαμπρὸν ἐξεργασαμένου καὶ τὸν πόλεμον
great and brilliant having-accomplished and the war
ἢ παντάπασιν ἀνελόντος ἢ τῆς Ἰταλίας ἐκβαλόντος
either altogether having-ended or — from-Italy having-driven
αὐτὸς ἀργὸς φανῇ καὶ μαλακὸς ἐν τοσούτῳ χρόνῳ μὴ
himself idle appear and soft in so-long time not
διαπεπολεμηκώς.
having-finished-the-war
Ἔοικε δ᾽ ὁρμῆσαι μὲν ἐξ ἀρχῆς ὁ Φάβιος πρὸς
it-seems and to-have-started indeed from (the)-beginning — Fabius to
τὸ ἀντιλέγειν ὑπὸ πολλῆς ἀσφαλείας καὶ προνοίας, μέγαν
the to-oppose from much caution and forethought great
ὄντα δεδιὼς τὸν κίνδυνον, ἐντεῖναι δέ πως μᾶλλον
being fearing the danger to-have-strained and somehow more
ἑαυτὸν καὶ πορρωτέρω προαχθῆναι φιλοτιμίᾳ τινὶ καὶ
himself and farther to-have-been-carried by-ambition some and
φιλονεικίᾳ, κωλύων τοῦ Σκηπίωνος τὴν αὔξησιν, ὅς
contentiousness hindering — of-Scipio the growth who

γε καὶ Κράσσον ἔπειθε, τὸν συνυπατεύοντα τῷ
at-least also Crassus tried-to-persuade the(-one) being-fellow-consul —
Σκηπίωνι, μὴ παρεῖναι τὴν στρατηγίαν μηδ' ὑπείκειν,
with-Scipio not to-give-up the command nor to-yield
ἀλλ' αὐτόν, εἰ δόξειεν, ἐπὶ Καρχηδονίους περαιοῦσθαι,
but himself if it-seemed-good against Carthaginians to-cross
καὶ χρήματα δοθῆναι πρὸς τὸν πόλεμον οὐκ εἴασε.
and money to-be-given for the war not he-allowed
χρήματα μὲν οὖν Σκηπίων ἑαυτῷ πορίζειν ἀναγκαζόμενος
money indeed then Scipio for-himself to-provide being-compelled
ἤγειρε παρὰ τῶν ἐν Τυρρηνίᾳ πόλεων ἰδίᾳ πρὸς αὐτὸν
raised from the in Etruria cities privately toward him
οἰκείως διακειμένων καὶ χαριζομένων· Κράσσον δὲ τὰ
intimately disposed and doing-favors Crassus and partly
μὲν ἡ φύσις οὐκ ὄντα φιλόνεικον, ἀλλὰ πρᾷον, οἴκοι
indeed the nature not being contentious but mild at-home
κατεῖχε, τὰ δὲ καὶ νόμος θεῖος ἱερωσύνην ἔχοντα τὴν
kept partly and also law divine priesthood holding the
μεγίστην.
greatest

26 Αὖθις οὖν καθ' ἑτέραν ὁδὸν ἀπαντῶν ὁ Φάβιος
again then by another road opposing — Fabius
τῷ Σκηπίωνι κατεκώλυε τοὺς ὁρμωμένους αὐτῷ
— for-Scipio hindered the(-ones) eager with-him
συστρατεύεσθαι τῶν νέων καὶ κατεῖχεν, ἔν τε ταῖς
to-serve of-the young and held-them-back in both the
βουλαῖς καὶ ταῖς ἐκκλησίαις βοῶν ὡς οὐκ αὐτὸς
councils and the assemblies shouting that not himself
Ἀννίβαν ἀποδιδράσκοι μόνος ὁ Σκηπίων, ἀλλὰ καὶ
Hannibal runs-away-from alone — Scipio but also
τὴν ὑπόλοιπον ἐκπλέοι λαβὼν δύναμιν ἐκ τῆς
the remaining sails-away having-taken force from —

Ἰταλίας, δημαγωγῶν ἐλπίσι τοὺς νέους καὶ ἀναπείθων
